καὶ μικρὸν κοπιάσαι διὰ τὸν Κύριον, ἢ καὶ ὑπὲρ δύναμιν, μὴ γογγύσωμεν. ὁ γὰρ
γογγύζων, ἔκδηλον ἑαυτὸν ποιεῖ, ὅτι οὐκ [illegible] ἐργάζεται. [illegible]
ἄλλ. ἀσθενεστέροις. ἂν, ὡς φρόνιμος, μὴ ἐρίζε τοῖς * ἀμελεστέροις ἀδελφοῖς, μηδὲ ζήλου [illegible] λ.
ἀφοβίᾳ Θεοῦ διὰ γογγυσμοῦ, [illegible] τοῦτο ἀκριβῶς, ὅτι ὁ [illegible] ἑαυτοῦ [illegible], καὶ
ὁ νικῶν στεφανοῦται. Πλὴν μὴ ἔριζε τῷ ἀδελφῷ· οὐ γὰρ οἶδας, [illegible]
πάθος αὐτῷ ἐνοχλεῖ, ὃ σὺ οὐ γινώσκεις, καὶ τοῦτο χρείαν [illegible] φέρειν [illegible]
καὶ μᾶλλον συμπάσχειν, καὶ παρακαλεῖν, καὶ μὴ θλίβειν, ὡς [illegible]
Σὺ δὲ ἀγωνίζου καλῶς, εἰδὼς πρὸς τίνα ἐξελήλυθας. Ἰδοὺ γὰρ [illegible] λ.
δειός σοι καιρὸς [illegible]
καὶ καρποφορίας τῆς [illegible] ἀδελφός, [illegible], ἀγαπητὲ, ἐὰν [illegible]
[illegible] ἀπὸ [illegible], [illegible] καὶ ἔνδοξον [illegible]
Εἰ δὲ καθαίρεσθαι [illegible] ἐν πολλῇ [illegible]
[illegible], μιμοῦ [illegible] Προφήτην [illegible]
Ψαλμ. ΡϚ, [illegible] καὶ τὸ στόμα μου [illegible]
[illegible]

ἁμαρτωλὰς· καὶ δάκρυσον περὶ ὧν ἡμάρτηκας· ἅμα δὲ καὶ περὶ ἐμοῦ τοῦ ἁμαρ-
τωλοῦ· ὅπως ἄφεσιν ἁμαρτιῶν δωρήσηται ἡμῖν Κύριος. ᾧ ἡ δόξα εἰς τοὺς
αἰῶνας. ἀμήν.

ΝΟΥΘΕΣΙΑ ΠΕΡΙ ΑΥΤΟΥΡΓΙΑΣ
ΠΑΡΑΙΝΕΣΙΣ ΙΒ.

Α ΔΕΛΦΕ, ἐὰν ἀποταξάμενος τοῦ ματαίου βίου, εἰσέλθῃς εἰς κοινόβιον
πλειόνων ἀδελφῶν· καὶ παραδοθῇς ὑπὸ τοῦ ἡγουμένου ἑτέρῳ * μοναχῷ, τοῦ
διδάσκειν σε ἆθλα τῶν ἀρετῶν· μή σοι δόξῃ λέγειν τὰ ἐναντία * τοῦ μείζονος
σου εἴτε προστάττειν, ἐν τῷ σε διαλογίζεσθαί τι τῶν μὴ ἀνηκόντων, καὶ φῇς· ἐγὼ
μὲν κατέλιπον * πλοῦτον, οἰκίας, ἀγρούς, παῖδας, καὶ παιδίσκας, καὶ πάντα ἡγησά-
μην σκύβαλα, ἵνα Χριστὸν κερδήσω· οὗτος δὲ μηδενὸς κύριος ὤν, πολλάκις
δὲ ἐξ ἀνάγκης εἰς τοῦτο ἐλήλυθε, καὶ τούτῳ ταπεινωθῶ; καὶ εἰς τοιαύτην ἀτέ-
λειαν παραπεμφθῶ; μὴ γὰρ λησμονῶν πάρειμι; Μὴ οὖν ταῦτα διαλο-
γίζου, ἀγαπητέ. ὑπερηφανείας γὰρ οἱ λόγοι οὗτοι πεπλήρωνται. Ἀλλ' ἐννόη-
σον, ὅτι ὁ πάντων τῶν ἡμῶν Δεσπότης Χριστὸς δι' ἡμᾶς ἐταπείνωσεν ἑαυτόν, ὑπή-
κοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Νόει ἃ λέγω· δώῃ γάρ
σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Δύο ἀθληταὶ ἦλθον ἀγωνίσασθαι ἐν τῷ ἅμα,
καὶ ὁ εἷς * ἀπεδύσατο τὴν ἐσθῆτα λαμπρὰν, ὁ δὲ ἐπερριψατο χεῖρον. Μὴ ὧν τὴν ἐσθῆτα
τὴν λαμπρὰν προσάγει ὁ ἀθλητὴς ἐν καιρῷ ἀγῶνος πρὸς βοήθειαν κατὰ τοῦ
ὑπεναντίου; * Ἢ πῶς τολμήσωμεν ἄφεσιν ἁμαρτιῶν αἰτήσασθαι παρὰ τοῦ Θεοῦ
ὑπὲρ τῶν προτέρων ἡμῶν πλημμελημάτων, ἡμῶν μὴ ἐπιλανθανομένων τῆς προτέρας
ἀναστροφῆς; Ἢ πῶς ἐκδυσώμεθα τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον
κατὰ τὰς ἐπιθυμίας; Οὐ δυνατὸν γὰρ παλαιὸν συνάψαι τῷ καινῷ, τοῦ Σωτῆρος
ἡμῶν εἰπόντος· οὐδεὶς ἐπίβλημα ἐπιβάλλει ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ πα-
λαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται.
Καὶ πάλιν· οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, ἀλλ' οἶνον νέον εἰς
ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται. Μηδὲ σοφίζου κατὰ τὸν πα-
λαιὸν ἄνθρωπον. διότι γέγραπται· ὁ θέλων ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι
τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μω-
ρία παρὰ τῷ Θεῷ ἐστιν. Ἐπιλαβοῦ οὖν τῆς ταπεινοφροσύνης· ὅτι γέγραπται· τὰ
ὑψηλὰ παρὰ τοῖς ἀνθρώποις, βδέλυγμα παρὰ Θεῷ· ὅπως καλῶς καὶ δοκίμως
πάντα κατορθώσας, ἕξεις ἔπαινον παρὰ τῷ Θεῷ, καὶ κληρονομήσεις τὸν στέφανον
τῆς ζωῆς, ὃν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν.

Marginal notes: ἄλλ. ἀδελφῷ. | ἄλλως, τῷ μειζοτέρῳ. | [παραινέσει Ε.] | Φιλιππ. Β, η. | β Τιμόθ. Β, ζ. | ἄλλ. ἐνεδύσατο. | λείπει τινά. | Ἐφεσ. Δ, κβ. | Κολοσ. Γ, η. | Ματθ. Θ, ις, ιζ. | Μάρκ. Β, κα, κβ. | Λουκ. Ε, λς, λζ. | α Κορινθ. Γ, ιη, ιθ. | Λουκ. Ις, ιε. | γράφ. βδελυκτά ἐστιν. ὅτι καί, βδελύγματα.

ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ
ΠΑΡΑΙΝΕΣΙΣ ΙΓ.

Δ ΕΙ καὶ σοῦ, ἐξ οἴκτου καὶ μακροθυμίας βίου ἐρχομένους ὡς μονήρη βίον, μὴ
ὑψηλοφρονεῖν, μὴ ἐπαίρεσθαι, ἀλλὰ πάντων ταπεινότερον καὶ ταπεινοφροσύ-
νην ἐνδύσασθαι, μνημονεύοντας ἅμα καὶ ἀνακεφαλαιουμένους τὰς εὐεργεσίας τοῦ
Κυρίου, ἐν ποίᾳ ἀνοχῇ τοῦ αἰῶνος τούτου δέδωκεν αὐτοῖς μήποτε περι-

Marginal note: Ῥωμ. Ιβ, ι.

συμφέροντες τῷ γαϊ, ἀκέσιμοις, ὡς ἀγνώμονας, παρὰ τοῦ Εὐεργέτου, τὸ εἰρημένον
Ψαλμ. Μθ, κ. ἐν τῷ ψαλμῷ· Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς
κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Τοιγαροῦν, ἀγαπητοὶ, δουλεύσωμεν
τῷ Κυρίῳ, ἐν ταπεινοφροσύνῃ πολλῇ, πάσας τὰς ἡμέρας ἡμῶν, τῷ ἐγείροντι
Ῥιγ. ζ. ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψοῦντι πένητα· ὅπως καὶ μετὰ τέλος ἀξιώσῃ ε
Λα, κγ. ἡμᾶς τῆς δόξης τῶν πραέων καὶ ταπεινῶν. Διότι γέγραπται· Κύριος ἀντα-
Ἰάκ. Δ, ϛ. ποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Καὶ πάλιν· Κύριος ὑπερη-
α Πέτρ. Ε, ε. ἄλλ. δόξα καὶ τὸ κράτος, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. φάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ᾧ ἡ * δόξα εἰς τοὺς αἰῶ-
νας. ἀμήν.

ΠΕΡΙ ΑΦΗΓΟΥΜΕΝΩΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΙΔ.

MUSEUM BRITANNICUM

Λουκ. ΙϚ, λε. ΑΔΕΛΦΕ, ὁ πιστεύθης ψυχὴν, ζῶσαν ὥσπερ αὐτὸς τὸ ὄσφρον σου· ἀνα-
γαὶς ἔχει σου ὀλίγος, τέλειον ψυχῶν ἔργον ἀναδέξῃ. Νῆφε οὖν σφόδρα,
ὅτι πολλῆς περιοχῆς δέεται τὸ πρᾶγμα, καὶ μὴ καταφρονήσῃς· ἀλλ' ἐν πάσῃ η
χάρ. ὑμῶν. ἁγιότητι ἔστω * ἡμῶν ἡ ἀναστροφὴ μετ' ἀλλήλων· μήποτε δέξῃ ἀπροσέξίας
ὑποσπείρῃ τι τῶν ἰδίων ὁ Ἐχθρὸς, διὰ τῆς ὑπακοῆς τῶν ὑποκειμένων. Ὁ γὰρ ὑπερ-
βαίνων τοὺς ὅρους τῆς ἁγνείας καὶ σωφροσύνης, καὶ τὴν ὑπακοὴν ἀπαιτῶν παρὰ
Δευτ. ΛϚ, λϚ. [illegible], οὐκ ἀπαρτίζεται ἔστιν. ἡ γὰρ ἄμπελος αὐτοῦ ἐκ Σοδόμων, καὶ ἡ κλη-
α Θεσ. Δ, η. ματὶς αὐτοῦ ἐκ Γομόῤῥας. Τῶν Ἀποστόλων λεγόντων· ὁ γὰρ ἀθετῶν, οὐκ ἄνθρω- ι
πον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν, τὸν διδόντα τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ἡμᾶς.
Ἀλλ' οὐδὲ ὁ [illegible] τοῦ τοιούτου πράγματος ἔχει ἔπαινον παρὰ τοῦ Θεοῦ· ὅτι
οὐδὲ τὸν Ἰωσὴφ ἐμιμήσατο, οὐδὲ τὴν μακαρίαν Σωσάνναν ἐζήλωσεν. Ὁ μὲν γὰρ
Γένεσ. ΛΘ, α. κ. τ. λ. Ἰωσὴφ καὶ εἰς δουλείαν πραθεὶς τῇ Αἰγυπτίᾳ, οὐ συναπήχθη ταῖς κολακείαις
αὐτῆς· οὐδὲ αἱ τοῦ θανάτου ἀπειλαὶ ἔπεισαν τὸν φιλόθεον. Ποτὲ μὲν γὰρ κολα- κ
κεύουσα τὸν νέον, ἐπηγγέλλετο δοῦναι δόματα πολλά. Μὴ πειθομένου δὲ αὐτοῦ,
πολλάκις καὶ θάνατον ἠπείλει καὶ βασάνους. Ὁ δὲ οὐδὲν προέκρινε τῆς σωφρο-
σύνης, ὑπήκοος δὲ ὑπάρχων κατὰ πάντα, τοῦτο μόνον παρῃτήσατο, σύμβολον τοῦ
Ἱστορ. Σωσάννης. ἡμετέρου βίου τεθεικώς. Ὁμοίως δὲ καὶ ἡ μακαρία Σωσάννα θάνατον ᾑρετίσατο,
ἢ ἁμαρτεῖν ἐνώπιον τοῦ Θεοῦ. Μεγάλην δὲ τιμωρίαν ἑαυτῷ προξενεῖ ὁ συνα- λ
Φιλιππ. Β, ιβ. φανεὶς τῷ δαίμονι. Διὸ καὶ ὁ Ἀπόστολος λέγει· μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν
σωτηρίαν ἐργάζεσθε. Σφόδρα γὰρ ἀντίκειται ὁ Ἐχθρὸς κατὰ τῶν κατορθούντων τὰς
ἀρετὰς, ἀλλὰ καταπατεῖται ὑπὸ τῶν πιστῶν. Δεῖ δὲ οὖν μειζοτέρους, τύπους
β Κορινθ. Ια, ιβ. εἶναι τοῖς μικροτέροις πρὸς πᾶσαν ἀρετὴν, ὅπως μὴ δῶμεν ἀφορμὴν τοῖς
θέλουσιν ἀφορμήν. Ἐὰν γὰρ ἡμεῖς ὦμεν ἀνυπότακτοι, πῶς τὴν ὑπακοὴν ἐκ- μ
διδάξωμεν τοὺς μικροτέρους; Ἐὰν ὦμεν γαστρίμαργοι ἢ μέθυσοι ἢ φιλάρ-
γυροι, πῶς τοὺς μικροτέρους ἡμῶν ἐκδιδάξωμεν τὴν ἐγκράτειαν καὶ ὑπομονήν;
Ἐὰν ἡμεῖς ὦμεν ἀπρονόητοι ἢ πολύλογοι ἢ ἀσέβαιοι, πῶς τοὺς μικροτέρους
ἡμῶν ἐκδιδάξωμεν τὴν σεμνότητα καὶ καρτερίαν; Τοῦ Κυρίου καὶ Σωτῆρος
Ματθ. Ε, ιθ. ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· ὁ ποιήσας καὶ διδάξας, οὗτος μέγας [illegible] ἐν ν
α Τιμοθ. Δ, ιβ. τῇ βασιλείᾳ τῶν οὐρανῶν. Καὶ πάλιν φησὶ ὁ Ἀπόστολος· τύπος γίνου τῶν
πιστῶν. Ἐρεῖς μοι οὖν, κἂν ἐγὼ μὴ ποιῶ, μηδὲ τῷ ἀδελφῷ μου τὸ συμφέρει;

Εἶπω καὶ, Τί τὸ ὄφελος, ἀγαπητοὶ, ἐὰν καὶ ἡμεῖς ἀλλήλους νουθετοῦντες, τὰ ἁμαρτίας πράττωμεν; τοῦ Κυρίου λέγοντος, διὰ τοῦ προφήτου Ιεζεκιὴλ, Ἕκαστον Ιεζεκ. Ιη, λ.
ὑμῶν κατὰ τὴν ὁδὸν *ὑμῶν κρινῶ, λέγει Κύριος Ἀδωναΐ. Οὐκ ἀποδώσομεν; γράφ. αὐτοῦ.
ἀλλὰ νῦν μὴ ἀμελήσωμεν ποιεῖν. Ἠλήθημεν; ἀλλὰ νῦν μὴ [illegible]. Ἠμελήσαμεν; ἀλλὰ νῦν μὴ ἀμελήσωμεν. Τοῦ λοιποῦ ἐπιστραφῶμεν πρὸς Κύριον. Περὶ δὲ τοῦ διδάσκειν καὶ νουθετεῖν, εἰς τὸν ἕνα, ἐντολὴν ἔχομεν ἀπὸ τοῦ ἁγίου Πνεύματος· ὁ γὰρ ἐπιστρέψας, φησὶν, ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ Ιακ. Ε, κ.
αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ *καλύψει πλῆθος ἁμαρτιῶν. Ὥστε οὖν ἄλλ. καλύπτει.
ἀγαπητοὶ, οὔτε ἡμᾶς χρὴ κρίνειν τοὺς μειζοτέρους ἡμῶν. γέγραπται γὰρ, Μὴ Ματθ. Ζ, α.
κρίνετε, ἵνα μὴ κριθῆτε. Ἔχετε δὲ ὑπόδειγμα τῆς ταπεινοφροσύνης, ἀδελφοὶ, τὸν προφήτην Σαμουήλ· οὐ γὰρ ὑψώθη τῇ καρδίᾳ κατὰ Ἠλὶ τοῦ ἱερέως, καίπερ α Βασιλ. Γ, ιϛ.
ἀκούσας ἐκ Θεοῦ περὶ τοῦ ἀνδρός. Παραγγέλλει καὶ ὁ Ἀπόστολος Πέτρος λέγων· μὴ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν ὑποτάσσεσθαι, ἀλλὰ καὶ τοῖς σκολιοῖς· α Πετρ. Β, ιη, ιθ, κ, κα, κβ, κγ.
τοῦτο γὰρ χάρις παρὰ τῷ Θεῷ, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ. Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς *ἀπέθανεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων γράφ. ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν.
ὑπογραμμὸν, ἵνα *ἐπακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρτίαν γρ. ἐπακολουθήσητε.
οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει· πάσχων, οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. Τῆς σωτηρίας οὖν *[illegible] τῆς ἑαυτῶν, ἀγαπητοὶ, ἐπειδὴ καὶ εἰς μετάνοιαν παντὶ λόγῳ, ἴσ. κηδώμεθα.
ᾧ ἐὰν ἀκούσωμεν, μάλιστα παρὰ τοῦ προεστῶτος ἐν Κυρίῳ. Ὥσπερ γὰρ ὕδωρ σβέννυσι πῦρ, οὕτω μετάνοια καθαρὰ σβέννυσι θυμὸν, καὶ ὀργὴν ἀποσοβεῖ. Καὶ πειθέτω σε ὁ ἐπὶ τοῦ Ἠλιοῦ *Πεντηκόνταρχος, ὃς διὰ τῆς ταπεινοφροσύνης δ Βασιλ. Α, ιγ.
ἀξιωμενήσας τὸν προφήτην, διεσώθη ἀπὸ τῆς ὀργῆς. Ταπείνωσιν οὖν ἔχε, ἀγαπητὲ, γρ. Εκατοντάρχης.
κατὰ πάντα ἐν Κυρίῳ, ὅπως ἰδὼν ὁ Κύριος τὸ ταπεινόφρον καὶ ταπεινὸν τῆς καρδίας σου, ὑψώσῃ σε. Φύλαττε δὲ τοὺς λόγους αὐτοῦ, καὶ ἔσται μεθ' ἡμῶν ὁ εἰπὼν, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ Ματθ. Ιη, κ.
αὐτῶν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΠΑΡΑΙΝΕΣΙΣ ΙΕ.

ΚΑΤΑ μέρος οἰκοδομεῖται πόλις, καὶ μετὰ κυβερνήσεως γίνεται πόλεμος. Οὐ δύναται ὁ ἄπειρος, ὡς ἔμπειρος, κατέχειν τόξον· καὶ οὐ δύναται παιδίον τρέχειν ἐπ' ἴσης ἀνδρός. Ἐὰν ἐπιθήσῃς παιδίῳ βάρος ὑπὲρ δύναμιν, βλάψεις αὐτό· καὶ ἐὰν ἀμελήσῃς τοῦ παιδεύειν αὐτὸ, ἄχρηστον ἀποβήσεται. Οὕτω δεῖ καὶ ἀρχάριον μετὰ διακρίσεως κυβερνᾶσθαι, καὶ μὴ κατὰ κενοδοξίαν ἐπιθεῖναι αὐτῷ βάρος, μηδὲ καταφρονεῖν τῆς ψυχῆς αὐτοῦ. Ἀλλ', ὡς σοφὸς, ἀναλόγισαί σου, πῶς ὑπετάγης τῷ μειζοτέρῳ σε, καὶ οὕτω κατὰ μέρος ἐπιχορήγει αὐτῷ τὴν ἄσκησιν. Ἀλλὰ μηδὲ, κατὰ πάθος φιλαργυρίας, δίωκε τὸν ἀδελφὸν εἰς τὸ ἔργον, ὅτι καρδιογνώστης ἐστὶν ὁ Κύριος. Ἀλλ' ὡς παρὰ Θεοῦ τὴν ἀνταπόδοσιν λαβεῖν ἐλπίζων, δίδασκε αὐτὸν τὰ ἔπαθλα τῶν ἀρετῶν, καὶ τὸν σεμνὸν βίον τινὰ διηγούμενος. Ἐὰν μετὰ [illegible] τῆς ἀργυρίας καὶ τοῦ [illegible], βαρυνθῇ ἐν [illegible]

γρηγορῆσαι καθ' σεαυτὸν, ὁ δὲ ὑποτεταγμένος θελήσῃ καθευδῆσαι μικρὸν, δὸς αὐτῷ ἀνάπαυσιν· οὐ γὰρ δύναται παιδίον ὑπάρχων, ὡς πρεσβύτης, ἐπ' ἴσης τελείως. Κἂν ἀσθενῇ τῷ σώματι, μὴ ἀποβάλῃς αὐτὸν, ἀλλὰ συγκοπίασον αὐτῷ μακροθυμῶν ἐπ' αὐτῷ· ὡς σοφὸς γεωργὸς, φυτεύσας φυτὸν ἀγαθὸν ἐν τῷ ἀγρῷ αὐτοῦ. Σπουδὴ δέ σοι πᾶσα γινέσθω παραστῆσαι τὸ σῶμα * αὐτοῦ, θυσίαν E.
ζῶσαν, εὐάρεστον τῷ Θεῷ, ὅπως μὴ συγκαταλογισθῶμεν, οὓς ὁ Ἀπόστολος αἰτιᾶται, λέγων· ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. Πᾶσαν οὖν ἀγαθὴν πρᾶξιν ἐκδίδασκε τὸν ὑποτεταγμένον, διότι γέγραπται· ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσῃ. Εἰ γὰρ ὁ καθηγητὴς τοῦ αἰῶνος τούτου
οὐ παραιτοῦνται τὰς δυσχερείας τῶν νηπίων ψυχῶν, οὐδὲ ἀναίνονται παιδίοις συναναστρέφεσθαι διὰ τὴν τῶν ἀνθρώπων ἀνταπόδοσιν· πόσῳ μᾶλλον χρὴ σὲ τελείως I.
ἀνέχεσθαι τῶν ἀσθενῶν διὰ τὸν Κύριον; Γέγραπται γὰρ, Τάδε λέγει Κύριος· μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ. Καὶ αὐτὸς οὖν, ἀγαπητὲ, μὴ ἀπαναίνου νεοθεσίαν * πατρὸς σου τοῦ γεννήσαντός σε ἐν Κυρίῳ. Λέγει γὰρ ὁ Ἀπόστολος· πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ IE.
ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Διὸ ἐν τῷ Ψαλμῷ λέγει· παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. οἱ γὰρ ὁ νοσοῦντες κατὰ σάρκα βιάζονται τὴν ἑαυτῶν φύσιν, τηρεῖν ὅσα ἂν αὐτοῖς ἰατροὶ προστάσσουσιν· οὐ πολλῷ μᾶλλον K.
χρὴ ἡμᾶς ὑπακούειν τοῖς πεπιστευμένοις τὴν ἴασιν τῶν ψυχῶν ὑμῶν; Θελήσωμεν δὲ ἐκμανθάνειν καὶ τὰ ἐντάλματα τοῦ ἁγίου Πνεύματος. Εἰ γὰρ ὁ τοῦ κόσμου τούτου ἐξηγητὴς ἐπιμελῶς κέχρηνται τῇ ἀναγνώσει τῆς μὴ οὔσης σοφίας· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν· πολλῷ μᾶλλον χρὴ ἡμᾶς μελετᾶν καὶ ἐκμανθάνειν τὰ λόγια τοῦ Θεοῦ πρὸς σωτηρίαν τῶν ψυχῶν KE.
ὑμῶν; Καὶ μακαρίζει τὸ Πνεῦμα τὸ ἅγιον τοὺς ἐξερευνῶντας τὰ μαρτύρια αὐτοῦ, λέγων· μακάριοι ὁ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, * ὅτι ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Καὶ πάλιν ἐν ἑτέρῳ Ψαλμῷ λέγει· μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Ἄκουε καὶ τοῦ Ἀποστόλου λέγοντος· πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ εἶναι χαρᾶς, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν Λ.
τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. Ὢ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Ρωμ. ΙΒ, α. · γράφεται, σοῦ.

β Τιμοθ. Γ, ε.

Ιερεμ. Ιε, ιθ.

Ησ. Λα, θ. τὸ ὁ. γράφ. πατέρων τῶν γεννησάντων σε.

Εβρ. Ιγ. ιζ.

Ψαλμ. Ρμα, ε.

α Κορινθ. Γ, ιθ.

Ρωμ. Γ, β. Εβρ. Ε, ιβ. α Πέτρ. Δ, ια.

ἄλλ. καὶ ἐν ὅλῃ. Ψαλμ. Ριθ, β. Πθ, ιε.

Εβρ. ΙΒ, ια.

ἄλλ. αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΑΡΑΙΝΕΣΙΣ Ιϛ

* ΔΙΔΑΚΤΙΚΗ.

ΑΔΕΛΦΕ, ἠξιώθης τοῦ ἁγίου ἐνδύματος τοῦ μοναχοῦ, μὴ ἐπαίρου κατὰ τῶν * ἐπιμενόντων εἰς τὸ ἐρχόμενον ἔτος. οὐ γὰρ τὸ ἀρξασθαί τινα πρακτικὸν εἶναι, ἐστὶν ἀρετή· ἀλλὰ ὑπομεῖναι ἄχρι τέλους. Μηδὲ δόξῃ σοι λέγειν ἐν σεαυτῷ λαβὼν τὸ σχῆμα· ἀπηλλάγην νῦν ἀπὸ τοῦ κόπου· ἀλλὰ νῦν πολλῷ μᾶλλον πόνεσον εἰς τὰς ἀρετὰς, ἵνα μὴ σεαυτὸν ζημιώσῃς. Ἄχρι γὰρ τοῦ παρόντος, πολλάκις καὶ ἐξ ἀνάγκης τοῦ μείζονος, οὐκ ἠμέλησας τῆς ἑαυτοῦ σωτηρίας. ἄχρι γὰρ τοῦ δεῦρο ἐν τῷ ἐξωτέρῳ θόλῳ ἦς, νυνὶ δὲ ἐν τῷ ἐσωτέρῳ θόλῳ εἰσ- M.

χρ. ἐπάλειψις.

ἔσω ὑπομενόντων.

ἐλήλυθας. Μὴ οὖν ἀμελέσῃς σεαυτοῦ, ἵνα μὴ ἀπολέσῃς τοὺς κόπους σου
ἀλλὰ τὸν μισθόν σου ἀπολάβῃς. Ἀπὸ τοῦ νῦν φαίνεταί σοι ὁ κόπος καὶ ἡ σπουδὴ
καὶ ἡ ἁγνεία καὶ τὸ κάθισμα· ἀπὸ τοῦ νῦν φαίνεται ὁποίαν ὁδὸν ἐπιθυμεῖς· ἢ
τὴν πλατεῖαν καὶ εὐρύχωρον, τὴν * ἐπάγουσαν εἰς τὴν ἀπώλειαν· ἢ τὴν στενὴν καὶ τε- Ματθ. Ζ, ιγ. Λουκ. Ιγ, κδ.
Ε. θλιμμένην, τὴν * ἐπάγουσαν εἰς τὴν ζωὴν τὴν αἰώνιον. Καὶ ἐν μὲν τῇ πλατείᾳ ὁδῷ ἄλλ. ἀπάγουσαν.
ἐστι ταῦτα· κακοφροσύνη, περισπασμοί, γαστριμαργία, μέθη, ἀσωτία, ἀσέλ-
γεια, ἔρεις, θυμός, φυσίωσις, ἀκαταστασία, καὶ τὰ ὅμοια τούτοις· οἷς ἐξακο-
λουθεῖ ἀπιστία, ἀπείθεια, ἀνυποταγή· ἔσχατον δὲ πάντων τῶν κακῶν, ἡ ἀπόγνω-
σις. καὶ ὁ ἐν τούτοις ἀναστρεφόμενος πεπλάνηται ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας,
Ι. πρόξενος ἑαυτῷ γινόμενος τῆς ἰδίας ἀπωλείας. Ἐν δὲ τῇ στενῇ καὶ τεθλιμμένῃ
ὁδῷ ἐστι ταῦτα, ἡσυχία, ἐγκράτεια, σωφροσύνη, ἀγάπη, ὑπομονή, χαρά, εἰ-
ρήνη, ταπεινοφροσύνη, καὶ τὰ ὅμοια τούτοις· οἷς ἐξακολουθεῖ ἡ ἀθάνατος ζωή.
Ἐπιγνοὺς οὖν, ἀγαπητέ, τὰ κεκρυμμένα ἐν τῇ πλατείᾳ καὶ εὐρυχώρῳ ὁδῷ,
ἀπόστα ἀπ' αὐτῆς, ἵνα καταλάβῃς τὴν ζωὴν τὴν αἰώνιον. Ἐὰν γὰρ ἐκ νεότητός σου
ΙΕ. βαδίσῃς τρίβον δικαιοσύνης, καὶ ἡ ἔξοδός σου ἔσται ἐν εἰρήνῃ. Ἐὰν δὲ ἄρξῃ ἀπὸ
τοῦ νῦν * πλατέως πορεύεσθαι, ἔσχατον ὀδυνηθήσῃ πικρῶς. Ἐὰν δὲ ἴδῃς τοὺς ἐν κάφ. πλαγίως.
ἀφοβίᾳ Θεοῦ διάγοντας, παχεῖς καὶ ὑγιεῖς τὸ σώματι, μὴ ζήλου τὰ ἔργα τῆς ἀ-
φοβίας. Τί γὰρ τὸ βέλτιον; τρυφᾶν ἐπὶ ὀλίγας ἡμέρας, καὶ τὴν ἐπιθυμίαν
τῆς σαρκὸς ποιεῖν, καὶ στερηθῆναι τῆς αἰωνίου ζωῆς; ἢ στενωθῆναι πρὸς ὀλίγον, καὶ
Κ. ἐκφυγεῖν τῆς αἰωνίου κρίσεως, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ ἀπολαβεῖν τῆς αἰω-
νίου ζωῆς; Σφόδρα τήρει ἑαυτὸν ἐκ τῆς παρρησίας, μήποτε δουλωθῇς τῇ πολυ-
λογίᾳ καὶ ἀναισχυντίᾳ, καὶ ποιήσῃς ἐπίχαρμα τοῖς δαίμοσιν ἑαυτόν, καὶ ἔσχατον
ἀπορρίψῃ σε τῆς ἀδελφότητος. Οὐ τοσοῦτο ὄναγροι λυμαίνουσι σῖτον, ὅσον ἡ παρ-
ρησία λυμαίνεται τοὺς πόνους τῶν μοναχῶν. Περιζώννυε οὖν * σεαυτῷ τὴν εὐλά- ἄλλ. σεαυτὸν τῇ
ΚΕ. βειαν, καὶ τὴν ταπεινοφροσύνην, καὶ ὑπομονήν, ἐν τῇ ὑπομονῇ τῆς ἀληθείας. Νου- — βείᾳ, καὶ τῇ — σύνῃ, καὶ
θέτει σεαυτόν, καὶ παρακάλει λέγων, Εἰ καὶ τὸ σχῆμα τοῦ μοναχοῦ ἔλαβον, — μονῇ.
ἀλλὰ τοὺς τρόπους τοῦ μοναχοῦ οὔπω μεμάθηκα. Ἐν τούτοις οὖν διαμενέτω σοι ἡ
ταπεινοφροσύνη. Καθεζομένου δέ σου ἐν τῇ ἡσυχίᾳ τοῦ κελλίου, ἐπισυνάγαγε
τοὺς διαλογισμούς σου, καὶ εἰπὲ τῇ καρδίᾳ σου· ἄνθρωπε, οὐχὶ τὸν κόσμον κατέλι-
Λ. πες, καὶ τοὺς κατὰ σάρκα γονεῖς, καὶ φίλους, καὶ πόλιν, καὶ πατρίδα, καὶ πλοῦτον,
τοῦ Κυρίου συνεργοῦντός σοι; Καὶ τί τὸ ὄφελος, ἐάνπερ καὶ ὧδε ἐλθὼν τοῦ σωθῆναι,
τὰ ἐναντία πράττεις, καὶ ἁμαρτάνεις ἔναντι Κυρίου· μόνον ἀργὸν ὄνομα περι-
βέβλησαι, ἐν τῷ σε μακαρίζεσθαι ὑπὸ τῶν γνωρίμων· καί φασι, μακάριος
ὁ δεῖνα, ὅτι ἐμίσησε τὸν κόσμον τοῦτον, καὶ τὴν δόξαν αὐτοῦ, καὶ τὴν ἀπάτην αὐτοῦ,
ΛΕ. καὶ οὐκέτι μεριμνᾷ τι γηΐνων· ἀνεχώρησε γάρ, * φασί, καὶ ἐγένετο μοναχός. Καὶ ἄλλως, φησί.
ἰδοὺ σὺ ὧδε ἀμονάχως διάγεις. Ποία ἄρα αἰσχύνη καταλήψεται ἡμᾶς, ἐάνπερ
οἱ μακαρίζοντες ἡμᾶς νῦν, προάξωσιν ἡμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Ἄρα
πόσος φόβος καὶ τρόμος συναντήσει ἡμᾶς, συνεχομένων ἡμῶν πικρῷ κλαυθμῷ;
Ἐάνπερ οἱ μακαρίζοντες ἡμᾶς νῦν, καὶ προσκυνοῦντες, καὶ λέγοντες, Εὔξασθε
Μ. ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, δοῦλοι Χριστοῦ· ἐάνπερ αὐτοὶ εὑρεθῶσιν ἐν ἀνέσει,
ἡμεῖς δὲ ἐν στενοῖς διὰ τὰ πλημμελήματα ἡμῶν; Διόπερ, ἀγαπητοί, νήψωμεν
πρὸς Κύριον, παρακαλῶ, ὡς καιρὸν ἔχομεν· καὶ μὴ μετεωριζώμεθα τῇ ἀπά-

α Ιωάν. Β, ιζ. τῇ τοῦ αἰῶνος τούτου. ὁ γὰρ κόσμος οὗτος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα. Πάντων οὖν τῶν βιωτικῶν πραγμάτων, τῶν παραιτούντων τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ, καταφρονήσωμεν. Τὴν γὰρ ἰσχὺν καὶ τὸ κάλλος διαδέχεται γῆρας καὶ ἀσθένεια· καὶ τὴν δόξαν καὶ τὸν πλοῦτον διαλύει θάνατος καὶ φθορά· ἡ δὲ δικαιοσύνη εἰς τὸν αἰῶνα μένει. Ἀγωνίζου οὖν E
καλῶς, ἀγαπητέ· ἰδοὺ γὰρ τὸ στάδιον ἀνέῳκται πᾶσι· καὶ ὁ Ἀγωνοθέτης λέγει
α Κορ. Θ, κδ, κε. διὰ τοῦ Ἀποστόλου· οὕτω τρέχετε, ἵνα καταλάβητε· καὶ, πᾶς ὁ ἀγωνιζόμενος,
β Τιμ. Β, δ, ε. πάντα ἐγκρατεύεται. καὶ πάλιν λέγει, οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Ὁ δὲ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν I.
Ἰησοῦ Χριστοῦ δῴη ἡμῖν πνεῦμα δυνάμεως καὶ σοφίας καὶ ὑπομονῆς, τοῦ δου-
ἄλλως, αὐτῷ ἡ δόξα. λεύειν αὐτῷ πάσας τὰς ἡμέρας ἡμῶν. * ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΠΕΡΙ ΦΙΛΑΥΤΙΑΣ ΚΑΙ ΚΕΝΗΣ ΑΠΑΤΗΣ.

ΠΑΡΑΙΝΕΣΙΣ ΙΖ.

ΑΔΕΛΦΕ, τί πλανᾷ σε ἐνεργούμενον ὑπὸ τοῦ Διαβόλου, ὑπερβαίνειν
γράφ. ἐξ ὧν. βαθμοὺς, * ἐν οἷς οὐκ ὠφεληθήσῃ, αὐτῷ τιμὴν περιτεθείς; Ἄκουε τοῦ
β Κορ. Ι, ιη. Ἀποστόλου λέγοντος· οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ
Ἰωάν. Ε, μδ. Κύριος συνίστησιν. Ἄκουε δὲ τοῦ Κυρίου λέγοντος· πῶς δύνασθε πιστεῦσαι, δόξαν K
ἴσως, ζητοῦντες. παρὰ ἀνθρώπου λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ οὐ * ζηλοῦντες. Ἐλθὲ
ἄλλως, τῷ βίῳ τούτῳ. οὖν εἰς ἑαυτὸν, ἀγαπητὲ, καὶ ἀναλόγισαι δι' ἣν αἰτίαν ἀπετάξω τῷ * ματαίῳ βίῳ, καὶ τῷ Διαβόλῳ, καὶ τῇ ὑπερηφανείᾳ αὐτοῦ· καὶ παῦσαι φρονεῖν τὰ κοσμικά. Οὐκ οἶδας, ὅτι ἐὰν ἐξουθενήσῃς τὸν πλησίον σου, ἁμαρτίαν ἐργάζῃ φιλαυτίας καὶ κενῆς ἀπάτης; Λόγισαι δὲ, ὅτι ἤδη προέκοψας, καὶ πρῶτος ἔσῃ τοῦ ἀδελφοῦ σου, K
καὶ εἰς τὰ μείζονα προέκοψας διὰ τῆς φιλονεικίας καὶ φιλαυτίας, καὶ διὰ τὸ μὴ βούλεσθαι ταπεινωθῆναι τῷ ἀδελφῷ σου. Ὅρα, ἀδελφὲ, μήποτε θέλων πρῶτος τοῦ ἀδελφοῦ σου εἶναι, ἐκεῖ ἐλάχιστος εὑρεθῇς ἐν τῷ μέλλοντι αἰῶνι. καὶ
γρ. μισόξενος. ἀκούσῃς τότε ὃ ἤκουσεν ὁ πλούσιος ἐκεῖνος ὁ * φιλόδοξος, ὀδυνώμενος ἐν
Λουκ. Ις, κε. τῷ πυρὶ τῷ ἀσβέστῳ· μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. γέ- Λ
γραπται γὰρ, τὰ ὑψηλὰ ἐν ἀνθρώποις, βδελυκτὰ παρὰ τῷ Θεῷ. Ἄρα ἐπ-
Ματθ. Κ, κϛ, κζ. ἐλάθου τοῦ εἰπόντος. ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω * ὑμῶν δοῦλος· καὶ ὃς
ἄλλως, πάντων δοῦλος. ἐὰν θέλῃ ἐν ὑμῖν μέγας εἶναι, ἔστω ὑμῶν διάκονος; Ἐννόησον, ὅτι ἀπέθανες τῷ
Κολοσ. Γ, γ, δ. κόσμῳ, καὶ ἡ ζωή σου κέκρυπται ἐν τῷ Χριστῷ· ὅταν οὖν ὁ Χριστὸς φανερωθῇ,
γράφ. ὑμῶν. ἡ ζωὴ * ἡμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε ἐν δόξῃ. Μὴ οὖν ἀγάπα τὴν τῶν ἀνθρώπων δόξαν· οὐ γὰρ διαμένει σοι εἰς τὸν αἰῶνα, κατὰ τὸν λέγοντα· πᾶσα
α Πέτρ. Α, κδ. σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. * Μακάριος δὲ
ἄλλως, μακαριώτερος. μᾶλλον ὁ ἐν τοῖς * ἀνθρώποις καταριθμηθεὶς τοῖς τελείοις· τὰ γὰρ βλεπό-
ἄλλ. οὐρανοῖς. β Κορινθ. Δ, ιη. μενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. Ἐὰν γὰρ ἔπι τῷ γηΐνῳ
Ματθ. ϛ, κδ. Λουκ. Ις, ιγ. φρονήματι δεδούλωσαι, ματαιότης γίνεται τὸ πρᾶγμα. Οὐδεὶς γὰρ δύναται M.
δυσὶ Κυρίοις δουλεύειν. Ἀπόῤῥιψον οὖν, ἀγαπητὲ, τὸν ζυγὸν τοῦ Ἐχθροῦ, καὶ πᾶσαν τὴν ὑπερηφάνειαν αὐτοῦ, καὶ ὑπόταξόν σου τὸν αὐχένα ὑπὸ τὸν ζυγὸν

*

τοῦ γλυκέος Δεσπότου τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Αὐτὸς γὰρ Ματθ. Κγ, ιϐ.
εἴρηκεν· ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. Καὶ πάλιν ὁ Θεὸς ὑπερηφάνοις Λυκ. Ιδ, ια.
ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Φοβηθῶμεν οὖν, ἀγαπητοὶ, μήποτε Ιη, ιδ.
ἔστη καὶ πρὸς ἡμᾶς· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων ὑπὲρ τοῦ Θεοῦ. * ᾯ ἡ Ιάκ. Δ, ϛ.
E. δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. α Πέτρ. Ε, ε. ἄλλως, αὐτῷ ἡ δόξα.

ΠΑΡΑΙΝΕΣΙΣ ΙΗ.

ΑΔΕΛΦΕ, ὅταν κρούει σοι ἀδελφὸς νυκτὸς, ὅπως ἀναστῇς εἰς δοξολογίαν
Χριστοῦ, ἔγειρε προθύμως· ἵνα καὶ ὁ ἀμελέστερος ἰδὼν σου τὸ πρόθυ-
I. μον, διεγείρῃ τὴν ἑαυτοῦ ψυχὴν πρὸς τὴν ψάλσιν, κατὰ τὸν λέγοντα· προέφθασαν οἱ Ψαλμ. Ριθ, θμι.
ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου. Καὶ πάλιν· μεσο- Ριθ, ξϐ.
νύκτιον ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.
Ἐὰν δὲ συμβῇ καταφέρεσθαί σε ὕπνῳ βαθεῖ, καὶ κατεχόμενον ταῖς φαντασίαις
τῶν δαιμόνων, καὶ ἔξυπνος γενόμενος, μετὰ ταῦτα μὴ δυσόκνει τοῦ ἐγερθῆναι εἰς σύν-
IE. αξιν· γινώσκων ὅτι καθάπερ οἱ πορευόμενοι εἰς κακὰ, περὶ βήματος καὶ λόγου
ἀργοῦ ἀπολογίαν δώσουσι ἐν ἡμέρᾳ κρίσεως, οὕτως καὶ περὶ ἑνὸς λόγου ἀγαθοῦ Ματθ. Ιϐ, λϛ.
καὶ βήματος μισθὸν κομιεῖται πᾶς ὁ τρέχων εἰς τὸ ἀγαθόν. Μὴ οὖν ὀκνήσῃς,
ἀλλ᾽ ἐγείρου· καὶ μὴ λέγε ἐν ἑαυτῷ, Νῦν ἀπόλυσιν ἡ σύναξις, κἀγὼ ποῦ
ὑπάγω; ὀκνηρῶν γὰρ ὁ λόγος οὗτός ἐστιν. Ἀλλὰ μᾶλλον ἔγειρε, ῥίψας ἀπό
K. σου τὸ στρῶμα, καὶ συντόμως ἐκτείνας τὰς χεῖράς σου πρὸς τὸν Θεὸν,
καὶ προσκυνήσας τῷ θρόνῳ τῆς χάριτος, ἄνοιξέ σου τὸ κελλίον, καὶ τρέχε
εἰς σύναξιν, ὡς βίαν παθὼν, ὡς δορκὰς ἐκ βρόχων ἐκφεύγουσα. Κἂν τὴν
ὑστέραν εὐχὴν καταλάβῃς μόνον, μὴ ὀκνήσῃς, ἀλλ᾽ ἔγειρε. Δύνασαι γὰρ μετὰ
τὴν ἀπόλυσιν βαλεῖν τοὺς Ψαλμοὺς ἐν τῷ κελλίῳ σου, οὓς ὑπέσυρεν ἡ τῶν
KE. Δαιμόνων φαντασία. Μηδὲ εἰς ἀφορμὴν ὀκνηρίας ὑποβάλλῃς τὴν ὑστέραν
εὐχὴν, ἀγαπητέ· ἀλλὰ τῇ ἐπιούσῃ ἑτοιμότερος διετεθήσῃ εἰς τὸ ἔργον Κυρίου.
Ἐὰν γὰρ παραλείψῃς, δίχα ἀνάγκης ἢ ἀῤῥωστίας, ἀκούσῃ τὸ εἰρημένον ἐν τῷ
Ψαλμῷ· ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν. Τοῦτο δὲ γίνωσκε, ἀγα- Ψαλμ. Οϛ, ε.
πητὲ, ὅτι ὅσον θάλπει τις καλῶς τὴν ἑαυτοῦ σάρκα, τοσοῦτο πλεονάζει ἐν αὐτῷ
Λ. τὰ πάθη. καὶ ἡ ψυχὴ λοιπὸν καταβαρουμένη ὑπὸ τῆς τοῦ σώματος κακῆς συνη-
θείας, ἄκαρπος γίνεται. Διὸ λέγει ὁ Σωτήρ· βλέπετε, μήποτε βαρυνθῶσιν Λυκ. Κα, λδ.
αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς. Ὅθεν καὶ ὁ
Ἀπόστολος λέγει· * ὑποπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις α Κορινθ. Θ, κζ. μᾶλλον λεκτέον, ὑπωπιάζω.
κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Ἐὰν δὲ βιάσηταί τις ἑαυτὸν εἰς τὸ ἔργον
ΛE. τοῦ Κυρίου, τοσούτῳ καὶ τὸ σῶμα εὔρωστον γίνεται, καὶ ἡ ψυχὴ λαμπρύνεται. Καθάπερ
γὰρ ἀθλητὴς κέχρηται τῇ τοῦ σώματος γυμνασίᾳ ἐπιμελῶς, ἵνα συναρμόσῃ
τὸ σῶμα πρὸς τὴν τέχνην τοῦ ἀγῶνος· οὕτως καὶ ὁ τῆς εὐσεβείας ἀγωνιστὴς ὀφεί-
λει γυμνάζειν ἑαυτὸν εἰς πᾶν ἔργον ἀγαθόν, τοῦ Ἀποστόλου λέγοντος· γύμναζε α Τιμ. Δ, ζ, η.
δὲ σεαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν
M. ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα τῆς
νῦν ζωῆς καὶ τῆς μελλούσης. Ὁ δὲ Κύριος ἐγείρῃ ἡμῶν τὰς ψυχὰς εἰς τὸν φόβον
αὐτοῦ. ᾯ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΠΑΡΑΙΝΕΣΙΣ ΙΘ.

ΕΝΝΟΗΘΩΜΕΝ, ἀγαπητοί, τοὺς ἑστῶτας ἐνώπιον ἐπιγείου βασιλέως, καὶ λειτουργοῦντας θνητῷ καὶ φθαρτῷ· πῶς μετὰ πάσης ἐπιστήμης καὶ φόβου παρίστανται τῷ βασιλεῖ αὐτῶν. οὐ πολλῷ μᾶλλον ἡμεῖς, ὡς πιστοί, ὀφείλομεν ἑστάναι ἐνώπιον τοῦ ἐπουρανίου βασιλέως μετὰ φόβου καὶ τρόμου καὶ πάσης σεμνότητος. Διὸ οὐ λογίζομαι, ἀγαπητοί, καλὸν εἶναι, τὸν ἀναιδῆ ὀφθαλμὸν κατανοεῖν τοῖς προκειμένοις * μυστηρίοις τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Καὶ πειθέτω ἡμᾶς ἡ Θεία Γραφὴ, λέγουσα. Ἔντρομος δὲ γενόμενος Μωσῆς οὐκ ἐτόλμα κατανοῆσαι. Γέγραπται γὰρ, Ἀλλ᾽ ἢ τοὺς δοξάζοντάς με δοξάσω, ὁ δὲ ἐξουθενῶν με ἀτιμασθήσεται. Σὺ μὲν γὰρ, ὡς ἄνθρωπος, κατανοεῖς· αὐτὸς δὲ, ὡς Θεὸς, * εἶδε τὰ βάθη τῆς καρδίας σου, καὶ τὰ ἐνθυμήματά σου προορᾷ· οὐ γάρ ἐστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Πῶς δὲ καὶ τολμῶσιν ἀφιέναι τὴν σύναξιν, καὶ ἐξιέναι πρὸ τῆς ἀπολύσεως δίχα ἀνάγκης μεγάλης; Ἄραγε, εἰ ἐκλήθης εἰς δεῖπνον ἀνδρὸς πλουσίου, ἐτόλμας ἐγερθῆναι ἐκ μέσου τῶν συνανακειμένων, καὶ πορευθῆναι εἰς οἶκον; Οὐχὶ μένων ἔμενες, ἕως οὗ ἅπαντες ὁμοθυμαδὸν ἀναστῶσι; Φοβηθῶμεν οὖν, ἀγαπητοί· διότι γέγραπται· Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς. Σπουδάσωμεν τοίνυν ἐν τῷ μικρῷ αἰῶνι τούτῳ καὶ πονηρῷ εὐάρεστοι τῷ Κυρίῳ εἶναι, ὅπως κληρονομήσωμεν τὴν αἰώνιον βασιλείαν. αὐτὸς γάρ ἐστιν ὁ ἅγιος, ἐν ἁγίοις ἀναπαυόμενος, ὀλιγοψύχοις διδοὺς μακροθυμίαν. ᾯ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ἄλλ. θυσιασθεῖσι μυστηρίοις.
Πράξ. Ζ, λβ.
Ἐξόδ. Γ, ς.
α Βασιλ. Β, γ.
ἄλλως, οἶδε.
Ἑβρ. Δ, ιγ.
Ἱερεμ. Δη, ι.
Ἡσ. Νζ, ιε.

ΠΕΡΙ ΝΥΣΤΑΓΜΩΝ ΔΙΑΦΟΡΑΣ.

ΠΑΡΑΙΝΕΣΙΣ Κ.

ΩΣ λογίζομαι, ἀδελφοί, ὅτι τρεῖς εἰσι νυσταγμοί, οἱ ἐνοχλοῦσι τὸν ἄνθρωπον νυκτός. Καὶ ὁ μὲν πρῶτος συμβαίνει φέρεσθαι τῷ ἀδελφῷ, ἐκ τῆς τοῦ Πονηροῦ ἐνεργείας, ὅταν ἄρξηται ψάλλειν. δίχα δὲ τῆς τοῦ ἀδελφοῦ ῥαθυμίας ἰσχύει οὐδέν· σφοδροτέρως δὲ ἐνοχλήσει, ἐάν τις βεβαρῆται ὁ στόμαχος τοῦ ἀδελφοῦ ἐν βρώμασι καὶ πόμασιν. Ὁ δεύτερος φέρεται τῷ ἀδελφῷ κατὰ μέσον τῆς συνάξεως ἐξ ἰδίας ἀμελείας, ὅταν μὴ πονέσῃ τῷ ἀδελφῷ, ἑστάναι ἄχρι τῆς ἐκπληρώσεως τοῦ κανόνος, ἀλλ᾽ ἀνὰ μέσον τῆς συνάξεως καταλιπεῖν τοὺς ψάλλοντας, καὶ πορεύεσθαι εἰς τὸ ἑαυτοῦ στρωμνίον. Ὁ δὲ τρίτος συμβαίνει φέρεσθαι τῷ ἀδελφῷ κατὰ φύσιν· τουτέστι, μετὰ τὴν ἐκπλήρωσιν τοῦ κανόνος τῆς συνήθους συνάξεως. Διὰ τοῦτο χρὴ μακροθυμεῖν πρὸς τοὺς ἀσθενεστέρους τῶν ἀδελφῶν, ἵνα μὴ γένηται ἡ βουλὴ τοῦ Ἐχθροῦ. Σὺ οὖν, ἀδελφὲ, μὴ ἀμέλει τοῦ νήφειν ἐν πᾶσιν. Οὐκ ἤκουσας, ὅτι * πλειστάκις κληθεὶς Σαμουὴλ ὁ προφήτης, οὐδὲ ἅπαξ ὤκνησε τοῦ ἐγερθῆναι, καίπερ καὶ παιδάριον τυγχάνων. Ὅταν οὖν στῇς ἐν τῇ συνάξει, μέσον τῶν ἀδελφῶν, εἴτε κατὰ μόνας, εἰς δοξολογίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὀχλήσῃ σε ὁ πρῶτος νυσταγμὸς, ἐπιγνοὺς ἀντίστα, μήποτε δυσοκνήσαντός σου, ἀποστρέψῃ σε κενὸν εἰς τὸ στρωμνίον σου. ἀλλ᾽ ὑπόμεινον καρτερῶς, κἂν ἐπ᾽ ὄψεώς σε καταβάλλῃ καὶ ἅπαξ καὶ δὶς, μὴ μεταστῇς τοῦ τόπου σου, καὶ εὑρήσεις μεγάλην * ὠφέλειαν. Ἔοικε γὰρ τὸ πάθος τοῦ ἀκο-

τετράκις, δῆλον.
α Βασ. Γ, δ, ς, η, ι.
ἄλλ. ἀνάπαυσιν.

*

ῥέσου ὕπνῳ τῇ γαστριμαργίᾳ. Ἐὰν γὰρ ἐθίσῃ τις πολλὰ ἐσθίειν, πολλὰ καὶ ἡ φύσις ἐπιζητεῖ. Ἐὰν δὲ συνήθειαν τῇ ἐγκρατείᾳ, οὐδὲ ἐπιζητεῖ πολυφαγεῖν. Ἀναλογίσασθε τὴν ἀλήθειαν ὅτι πόσαι ψυχαὶ διὰ τελείωσιν ἀγρυπνοῦντες διὰ τὸ ἔργον προσκαρτεροῦντες. ἐὰν δέ τις αὐτῶν βαρούμενος τῷ ὕπνῳ, ἀμελήσας καθευδήσῃ· ὅταν ἐγερθῇ ἀπὸ τοῦ ὕπνου, κατανοεῖ ἑαυτὸν μὴ πράσσοντα μηδέν· τοὺς δὲ γρηγοροῦντας καὶ ψάλλοντας αἰσχυνθέντας. τότε ἄρχεται μεταμελεῖσθαι ἐν ἑαυτῷ, καὶ λέγειν· οἴμοι τῷ ἁμαρτωλῷ τῷ ῥᾳθύμῳ καὶ ὀκνηρῷ· ὅτι ἀμελήσας ἐκοιμήθην. ἐπεὶ καιρὸν εἶχον πᾶσαν, ὡς καὶ ὁ ἑταῖρός μου, καὶ αἰσχυνθείην· ἀλλὰ νῦν ἀμελήσας, ἰδοὺ πορεύομαι κενὸς εἰς τὸν οἶκόν μου, μηδὲν κατέχων ἐν χερσίν. ὕπνωσαν, φησίν, ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν. Ἀναλογίσασθε ἅμα, ἀγαπητέ, ὅτι οἱ κεραμεῖς, καὶ ὅτι τὴν χαλκευτικὴν τέχνην χειρίζοντες, καὶ ἀναξίως ἐκεῖ κόπον ἀμείβουσιν, καὶ ἀγρυπνίαν πολλὴν ἀφόρητον, καὶ ὑπομένουσιν· ἡμεῖς δὲ μηδὲ ὑπὸ καπνοῦ καὶ κόνεως συνεχόμενοι τὸ σῶμα, μηδὲ ἄλλο τι τῶν ὁμοίων ὑπομένοντες, ἀλλ' ἑστῶτες ἐν τόπῳ καθαρῷ ἡγιασμένῳ, ἐνώπιον Κυρίου, ἐν σεμνότητι, καὶ εἰρήνῃ πολλῇ, καὶ ἀγαλλιάσει πνευματικῇ, καὶ ἐλπίδι ἀγαθῇ, καὶ ἵνα τί ῥᾳθυμοῦμεν, ἀγαπητοί; Τίς γάρ ἐστιν ὁ χρόνος ἡμῶν ἐπὶ τῆς γῆς; Ἰδοὺ ὁ Προφήτης βοᾷ· ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ σκιὰ παράγουσι. Μὴ ἐκκαζέσθω ἐμοὶ τῷ ἀμελεῖ, τῷ ἀπολωλεκότι τὴν ὑπομονήν, εἰδὼς τοῦτο ἀκριβῶς, ὅτι ὁ νήφων, αὐτὸς κερδαίνει· ὁ ἀμελῶν, αὐτὸς ζημιοῦται. ἕκαστος γὰρ ἡμῶν ἀπολογίαν δώσει τῷ Θεῷ. Ἐγὼ γὰρ οἶδα, ὅτι ἀναπολόγητός εἰμι ἔργων, ἑτέρους γὰρ νουθετήσας, ἐν τῇ αὐτῇ ἀμελείᾳ ἐναπέμεινα. Διὸ δέομαι ὑμῶν, δοῦλοι πιστοὶ τοῦ Σωτῆρος, δεηθῆναι ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, τὸν Σωτῆρα ἡμῶν Χριστόν, τὸν βασιλέα τῶν ἄνω δυνάμεων, ὅπως ἐξαλείψῃ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν αὐτοῦ, καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον. Μή, ὡς κέρδος, ἡγοῦ τὸν ὕπνον καὶ τὴν τοῦ σώματος ἀνάπαυσιν· κέρδος δέ ἐστι καὶ ἀνάπαυσις, τὸ βιάζεσθαι ἑαυτόν τινα εἰς ἔργον τοῦ Κυρίου διαπαντός. Βιασώμεθα οὖν ἑαυτούς, ἀγαπητοί, ἵνα ἐλθὼν ὁ Κύριος εὑρήσῃ ἡμᾶς γρηγοροῦντας, καὶ ἀξιώσῃ ἡμᾶς τοῦ μακαρισμοῦ αὐτοῦ. αὐτὸς γὰρ εἴρηκε· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος αὐτῶν, εὑρήσει γρηγοροῦντας. Ἀλλήλους νουθετήσωμεν εἰς τὸν φόβον τοῦ Κυρίου, ἀλλήλων τὴν προθυμίαν διεγείρωμεν εἰς δοξολογίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπως καὶ αὐτὸς ἀναστήσῃ ἡμᾶς μετὰ πάντων τῶν ἠγαπηκότων τὴν ἐπιφάνειαν αὐτοῦ· καὶ παραστήσῃ ἡμᾶς ἐν δεξιῶν αὐτοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Margin notes: ἄλλως, εἰς τὸ. — Ψαλμ. Ος, ε. — Ψαλμ. Ρμδ, δ. Ἰώβ, Η, θ. — Ψαλμ. Να, α. — β Τιμοθ. Δ, η.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΑ.

Ἐὰν ἔλθῃ ἀδελφὸς εἰς τὸ μοναχικὸν ἐξ οἱασδήποτε προφάσεως, ἐὰν μὴ νήψῃ, εὐθὺς καὶ παραχρῆμα καταπίνει αὐτὸν ὁ Διάβολος. Ἄρχεται γὰρ ὁ Πονηρὸς ὑποβάλλειν αὐτῷ, καὶ λέγειν· Τί θέλεις ἄρτι φιλοπονεῖν εἰς τὰς ἀρετάς, κοπιᾷν καὶ ταλαιπωρεῖν, ἀνταποδόσεως μὴ ὑπαρχούσης; Μὴ γὰρ ἐξ ἰδίας προαιρέσεως ἦλθες εἰς τὸ μοναχικόν; Οἶμαι γὰρ ὅτι συνέβη σοι ἐκεῖνο τὸ πρᾶγμα, καὶ δι' ἀνάγκην ἐγένου μοναχός· ἐπεὶ σὺ εἶχες γενέσθαι μοναχός

ποτε. Μὴ οὖν θέλε ἄρτι ταλαιπωρεῖν εἰς μάτην. οὐ γὰρ ἔχει σοι ὁ Θεὸς χάριν ἐν
τούτῳ. Ταῦτα ὑποβάλλει ὁ Ἐχθρὸς τῷ ἀδελφῷ, θέλων ῥῖψαι αὐτὸν εἰς τὸν βυθὸν
τῆς ἀπογνώσεως. Τότε λοιπὸν ὁ ἀδελφὸς, μὴ διακρινόμενος ἐν ἑαυτῷ τὴν
εὐεργεσίαν τοῦ Κυρίου, ἐκδιδοῖ ἑαυτὸν τῇ ἀπογνώσει, τυφλωθεὶς τῇ διανοίᾳ.
Τότε λοιπὸν ἄρχεται ὁ ἀδελφὸς ἐν ἀμελείᾳ διάγειν καὶ ἐν ἀφοβίᾳ, ἀντιλέ-
γειν μικροῖς τε καὶ μεγάλοις, καὶ τῷ ἀκορέστῳ ὕπνῳ χρῆσθαι. Καὶ ἐὰν τι ἀγαθὸν
πεποίηκέ ποτε, μεταμελεῖται, ὡς ζημίαν αὐτῷ ἡγούμενος. ὥστε καὶ συνεχῶς
γογγύζειν, καὶ ἐποδύρεσθαι ἑαυτόν· καὶ ἁπαξαπλῶς τῇ ἀπωλείᾳ ἑαυτὸν ἐκδίδω-
σι. Καὶ ἀντὶ τοῦ ὀφείλειν προθυμοτέρως φιλοπονεῖν εἰς τὰς ἀρετὰς, τὰ ἐναντία
πράττει, μὴ διακρινόμενος ἐν ἑαυτῷ τὰς εὐεργεσίας τοῦ Κυρίου. Καὶ ἀντὶ τοῦ λέ-
γειν ἐν ἑαυτῷ, Ψυχὴ, πόσοι διὰ πολλῶν νηστειῶν καὶ ἐλεημοσυνῶν, ἠξιώθησαν
ἄλλως, διάγω. εἰς τὴν τοιαύτην πολιτείαν ἐλθεῖν, ἐγὼ δὲ ἐν ἀμελείᾳ *διάξας τὸν πάντα χρό-
νον τῆς ζωῆς μου, καὶ ὁ Κύριος ἠξίωσέ με εἰς τοιαύτην προκοπὴν ἐλθεῖν τοῦ σεμνοῦ
καὶ ἀπεριστάστου βίου, μὴ μνησθεὶς τῶν πολλῶν μου ἁμαρτιῶν; Τοιγαροῦν καὶ
ἡμεῖς, ψυχὴ, σπουδάζωμεν, ἄξια τῆς μετανοίας ἔργα πράττειν, ἵνα μὴ διωνίαν
κόλασιν εὕρωμεν ἐπὶ τούτοις, ὡς τὴν χάριν τοῦ Θεοῦ ἀθετήσαντες, καὶ τῶν εὐερ-
[Παραβολή.] γεσιῶν αὐτοῦ μὴ μνησθέντες. Ἄκουε δὲ καὶ παραβολὴν πρὸς ταῦτα. Πλούσιός τις
ἦν ἐν χώρᾳ τινὶ, καὶ ἠγόρασεν ἑαυτῷ κτῆσιν πέραν τοῦ ποταμοῦ, καὶ προσκαλε-
σάμενος τοὺς ἰδίους δούλους, ἀπεδήμησεν εὐθέως, διαμερίσας αὐτοῖς τὴν κτῆσιν,
παρέχων ἑκάστῳ, καθὼς αὐτὸς ἠθέλησε. καὶ εἶπεν αὐτοῖς· ἀπέλθετε ἕκαστος
ὑμῶν εἰς τὴν μερίδα αὐτοῦ, καὶ ἐργάσασθε ἐν αὐτῇ, ἕως ἀνελθὼν ὀψώμαι ὑμῶν
τὴν ἐργασίαν. Καί τινες ἐξ αὐτῶν εὑρεθέντες εὐγνώμονες, καὶ φιλοδέσποτοι,
οὐ παρήκουσαν τῇ διαταγῇ τοῦ δεσπότου αὐτῶν· ἕτεροι δὲ αὐτῶν ἀνήκοοι ὄντες καὶ
σκληροτράχηλοι, ἀντεῖπον τῷ κυρίῳ αὐτῶν, λέγοντες· ἡμεῖς τῆς φωνῆς σου οὐκ
ἀκουσόμεθα, καὶ τὸν ποταμὸν οὐ διαπερῶμεν, καὶ ἐν τῇ κτήσει σου οὐ κοπιῶμεν.
καὶ ἐν πᾶσι τούτοις οὐκ ὠργίσθη ὁ κύριος αὐτῶν. Τότε παρασκευάζει ὁ πλούσιος
ἄλλως, πᾶσι. ποτὸν τοῖς ἑαυτοῦ *παισὶ, καὶ μεθύσας τοὺς ἀνηκόους δούλους, προσέταξεν ἑτέροις
παισὶ, καὶ διαπεράσαντες αὐτοὺς τὸν ποταμὸν, ἔθηκαν ἕκαστον αὐτῶν ἐν τῇ μερίδι,
ᾗ ἔδωκεν αὐτοῖς ὁ κύριος αὐτῶν. καὶ μετὰ ταῦτα ἀνανήψας τις ἐξ αὐτῶν, εὑ-
ρίσκει ἑαυτὸν πέραν τοῦ ποταμοῦ κείμενον εἰς τὴν μερίδα, ἣν ἔδωκεν αὐτῷ ὁ
κύριος αὐτοῦ· καὶ ἐξέστη ὁ δοῦλος ἐκεῖνος ἐπὶ τούτοις, καὶ εἶπε πρὸς ἑαυτόν· εἰ
οὕτως ἠγάπησέ με ὁ κύριός μου· ἀπειθήσαντός γάρ μου αὐτῷ, οὐκ ὠργίσθη, ἀλλ'
ἤνεγκε μακροθύμως, καὶ τὸν μέγαν ποταμὸν τοῦτον καὶ βίαιον, ὡς δι' ὀνείρου, διεβί-
βασέ με, καὶ ἐν τῇ μερίδι μου τέθεικέ με· τοιγαροῦν κἀγὼ κοπιάσω καλῶς
ἐν τῇ κτήσει αὐτοῦ, μεμνησκόμενος τῶν εὐεργεσιῶν αὐτοῦ. καὶ ἤρξατο ὁ δοῦλος
ἐκεῖνος ἐργάζεσθαι ἐπιμελῶς, ὥστε καταλαβεῖν αὐτὸν τοὺς προεναρξαμένους.
γράφ. ἄλλος. Μετὰ ταῦτα διυπνισθεὶς καὶ ὁ *δεύτερος δοῦλος, εὗρεν ἑαυτὸν εἰς τὸ πέραν τοῦ
ἄλλως, ὀκνηρός. ποταμοῦ ἐν τῇ κτήσει τοῦ κυρίου αὐτοῦ. πονηρὸς δὲ ὑπάρχων καὶ *σκληρὸς εἶπεν
ἐν ἑαυτῷ· ἰδοὺ, φησὶν, τὸν ποταμὸν τοῦτον τὸν μέγαν καὶ βίαιον διεβίβασέ με
ἄλλως, ἀργόν. ὡς δι' ὀνείρου· ἐγὼ δὲ ἀφήσω χέρσον τὸν *ἀγρὸν αὐτοῦ, καὶ ὄψομαι ὃ μέλλει μοι
ποιεῖν. Καὶ πάλιν ἀνακλίνας ἑαυτὸν ὁ ὀκνηρὸς δοῦλος ἐκοιμήθη· καὶ ἐν τῷ
καθεύδειν αὐτὸν, ἀνέβησαν αἱ ἄκανθαι καὶ αἱ ἄγριαι βοτάναι, καὶ κατεκά-

λυψαι αὐτόν. μετὰ δὲ πολλοὺς χρόνους ἦλθεν ὁ κύριος τῶν δούλων ἐκείνων, ἐπιθεάσασθαι ἑκάστου τὸ ἔργον· καὶ ἰδὼν τὴν ἐργασίαν τῶν πραγματευσαμένων, εὐλόγησεν αὐτούς. εἶτα πάλιν ἔρχεται πρὸς τὸν δοῦλον, ὃν αὐτὸς διεπέρασε τὸν ποταμὸν, ὡς δι' ὀνείρου· καὶ ἰδὼν αὐτοῦ τὴν καλλίστην ἐργασίαν, εὐφράνθη ἐπ' αὐτῷ, καὶ εὐλόγησεν αὐτόν. Μετὰ ταῦτα ἔρχεται ἰδεῖν τὸν ὀκνηρὸν δοῦλον, καὶ τὴν ἐργασίαν αὐτοῦ· καὶ παραγενόμενος εὑρίσκει αὐτὸν καθεύδοντα, καὶ ὑπὸ τῶν ἀκανθῶν * καὶ ἀγρίων βοτανῶν συγκαλυπτόμενον. Καὶ φωνήσας αὐτὸν ὁ κύριος αὐτοῦ, εἶπε μετὰ ἀπειλῆς πρὸς αὐτόν· Δοῦλε πονηρὲ καὶ ὀκνηρὲ, διὰ τί χέρσον ἀφῆκας τὸν ἀγρόν; ἢ οὐκ οἶδας, πῶς σε διεβίβασα, ὡς δι' ὀνείρου, τὸν ποταμόν; Τότε οὐδεμίαν ἀπολογίαν εὗρεν ὁ δοῦλος ἐκεῖνος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ. Οὐκ ἔδει καί σε μιμήσασθαι τὸν σύνδουλόν σου, * ὃν, ᾧ τρόπον καὶ αὐτὸν διεπέρασα τὸν ποταμόν; Οὗτος δὲ οὐδὲν ἔτι ῥῆμα μικρὸν ἀπεκρίνατο. Τότε ὁ κύριος αὐτῶν ἐποίησε μετ' αὐτῶν κατὰ τὴν ἑκάστου πρᾶξιν. * Λέγω δὲ ἐξ αὐτῶν τὸν πλούσιον, τὸν δεσπότην Χριστόν· κτῆσιν δὲ, τὴν πίστιν· τὴν δὲ μάθησιν, τὴν προαίρεσιν· τὸν δὲ βίαιον ποταμὸν, τὴν ἀπάτην, καὶ τὸν πλοῦτον τοῦ αἰῶνος τούτου. τοὺς δὲ προθύμους δούλους, τοὺς δικαίους τοὺς ἐκ μέθης ἀνανήψαντας, καὶ ἐργασαμένους, ἄνδρα ἁμαρτωλὸν, καὶ προαιρέσεως αὐτοῦ γενομένης, καὶ δι' αὐτῆς ἐπιγνόντος τὰς εὐεργεσίας τοῦ Κυρίου, καὶ ἀνανήψαντος ἐκ πολλῶν ἁμαρτημάτων πρὸς δικαιοσύνην, ἐργαζόμενος τὸ θέλημα τοῦ Θεοῦ· ὁ δὲ ὀκνηρὸς δοῦλός ἐστιν ἄνθρωπος ἀθετήσας τὴν χάριν τοῦ Κυρίου, καὶ ἀμελήσας τῆς ἑαυτοῦ σωτηρίας. Ἐν πᾶσι δὲ τούτοις ἀναλόγισαι Σαῦλον. Οὗτος γὰρ λαβὼν ἐπιστολὰς παρὰ τῶν ἀρχιερέων, ἐπορεύετο εἰς Δαμασκὸν, δῆσαι τοὺς πιστεύοντας ἐπὶ τὸν Κύριον· καὶ ἐξελθὼν ἀνατρέπειν τὴν πίστιν, αὐτὸς κήρυξ εὑρέθη τῆς πίστεως. Πολλοὶ γὰρ οἱ οἰκτιρμοὶ τοῦ Κυρίου ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτὸν ἐν ἀληθείᾳ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ἄλλ. ἀγρίων καί.

ἄλλ. ὃν, ὃν τρόπον καὶ σὲ διεπ.

ἄλλ. ἔλεγε δέ. [Ἑρμηνεία παραβολῆς.]

Πράξ. Θ, β, γ, κ. ΚΒ, δ, ε, ς. Κς, ια, ιβ.

Γαλατ. Α, ιγ, ις.

ΠΕΡΙ ΕΡΓΟΧΕΙΡΟΥ.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΒ.

ΤΟΙΣ ἐν κοινοβίοις νεωτέροις μοναχοῖς διαφόρως πολεμεῖ ὁ Ἐχθρός. Τισὶ γὰρ ἐξ αὐτῶν ὑποβάλλει μῖσος εἰς τὸ ἐργόχειρον αὐτῶν. Καὶ ποίῳ τρόπῳ; Ἐγὼ λέγω τῆς χάριτος συνεργούσης. Πρωΐας δὲ γενομένης, ἀνίσταται ὁ ἀδελφὸς ποιῆσαι ἑαυτοῦ εὐχὴν ἐν τῷ κελλίῳ αὐτοῦ. εἶτα, ἐπιλαμβάνεται τοῦ ἔργου. Φέρει αὐτῷ ποτε ὁ μισόκαλος Δαίμων τὸν λογισμὸν τῆς * ἀκηδείας. Καὶ ἐὰν ἐλθούσης τῆς ἀκηδείας, ὑπομείνῃ ὁ ἀδελφὸς ἐργαζόμενος καὶ μελετῶν, τότε ἀπελαύνει τὴν ἀκηδείαν, τῆς χάριτος συνεργούσης. Ἀλλ' ἐν τούτῳ ἡττᾶται ὁ ἀδελφὸς, ἐλθούσης τῆς ἀκηδείας. Ἐλθούσης γὰρ αὐτῆς, οὐκ ἀνταγωνίζεται διὰ τῆς ὑπομονῆς. Διὸ καὶ ἡττᾶται ἁλωτός. Χαυνώσας τὸν λογισμὸν, ἄρχεται λέγειν ἐν ἑαυτῷ· σήμερον ὡς πάρεργον ἐμαυτὸν αἰσθάνομαι, καὶ ἀσθενῶ. Τί ποτε; καὶ τί ἔχω ποιῆσαι; μᾶλλον ἀργῶ τὴν σήμερον, ἵνα ἀναπαύσωμαι ἐμαυτὸν μικρόν· καὶ τὴν αὔριον διώκω ἐμαυτὸν εἰς τὸ ἐργόχειρον, καὶ ποιῶ τῶν δύο ἡμερῶν τὸ ἔργον. Εἶτα ἀργεῖ ὁ ἀδελφὸς τὴν πρώτην ἡμέραν· ὑποσύρεται λοιπὸν τῆς μιᾶς ἡμέρας τὸ ἔργον. Ὁμοίως καὶ τῇ ἐπαύριον ὁ μισό-

ἄλλως, ἀκηδίας.

*

κόπος διαφόρων σφοδροτέραν ἀκηδίαν ἐπάγει τῷ ἀδελφῷ, τῆς χθὲς, αἰτίαν
αὐτῷ τὴν μνήμην τῆς ἐπιστάσης ἡμέρας, καὶ τῆς παρελθούσης. Τότε λοιπὸν συγχω-
ρήσας τοῖς λογισμοῖς, ἐγείρεται, καὶ ἀφίησι τὸ ἔργον αὐτοῦ, καὶ ἄρχεται πολλάκις
ποιεῖν τὰ μὴ ἔργα, ὡς ἔργα· ἃ καὶ ἐκ τῆς κέλλης ἐξενεγκεῖν τὸν μοναχὸν ποιεῖ αὐτῆς
διακινεῖν. Καὶ ἐν τούτῳ πειράζει ὁ Πονηρὸς τὸν μοναχὸν ἐκ τῆς οἰκείας χαυνότητος. E
Ἄλλῳ δὲ ἀδελφῷ ἄλλως πολεμεῖ ὁ Ἐχθρός. Αἴτει δὲ καὶ τότε τὴν αἴτησιν, καὶ σοφὸς
γενοῦ, καὶ δὸς δόξαν τῷ μόνῳ σοφῷ Θεῷ· καὶ μαθὼν διαφυλάξαι, ὡς ἐπιστά-
α Πέτρ. Ε, η, θ. μενος, ὅτι ὁ ἀντίδικος ἡμῶν Διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζη-
τῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει. Ἑτέρῳ δὲ ἀδελφῷ ἐνδίδωσιν ὁ
Πονηρὸς προθυμίαν εἰς τὸ ἔργον, ὑπὲρ ὃ δεῖ. ὅθεν γίνεται τὸ πάθος τῆς φιλαρ- I
α Τιμόθ. ς, ι. γυρίας· τότε τρωθεῖσα ἡ ψυχὴ τῇ ῥίζῃ τῶν κακῶν τῇ φιλαργυρίᾳ, παρα-
σκευάζει τὸν μοναχὸν ὀρθρίζειν καὶ ὀψίζειν εἰς τὸ ἐργόχειρον ὑπὲρ ὃ δεῖ, ὥστε, εἰ
δυνατὸν, καὶ τῆς εὐχῆς καὶ τῆς συνάξεως αὐτὸν ἀμελεῖν, καὶ τῷ ἔργῳ μόνῳ στοιχεῖν,
ἕνεκα φιλαργυρίας. Ὅταν δὲ κρούσῃ εἰς τὴν σύναξιν, πάντων ἔσχατος ἀπαντᾷ
ὁ ἀδελφὸς, καὶ πρὸ πάντων τῆς συνάξεως παρασκευάζει ἐξιέναι. Ταῦτα οὖν IE
εἰδὼς, πρόσεχε σεαυτὸν, ἀγαπητὲ, ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθεὶς,
ἐκπέσῃς τοῦ ἰδίου στηριγμοῦ. Ἵνα δὲ μὴ μηκύνωμεν τὸν λόγον. καταλύσας αὐτοῦ
τὰ νεῦρα διὰ τῆς φιλαργυρίας, καὶ τὴν εὐτονίαν διαλύσας, ἄρχεται λοιπὸν ὁ Πο-
νηρὸς ὑποβάλλειν τῷ ἀδελφῷ. Τότε καὶ ὁ ἀδελφὸς, μὴ νοῶν τὸ ἐνοχλοῦν αὐτῷ
πάθος, ἄρχεται λέγειν μεμφόμενος τὸ ἔργον· τοσαῦτα ἔτη ἐργαζόμενος ἐν τῷ K
ἄλλ. ἐργοχείρῳ. εὐλογημένῳ * ἔργῳ τούτῳ, καὶ ἔτι μαθημάτων ἔχει, καθὼς ὀφείλει, πλὴν
ὅτι κόπον ἔχει ἄμετρον. καί φησι· κρεῖσσον ἀργεῖν ἢ κακῶς ἐργάζεσθαι. ὑπά-
γω, ἑτέραν τέχνην μανθάνω, ὅθεν μαθεῖν ἱκανῶς δυνῶμαι ἀπολῦσαι, καὶ
ῥᾳδίως τὰ πρὸς τὴν χρείαν μου καταλαβεῖν. ὁμοίως καὶ οὗτος πειράζεται ὑπὸ τοῦ
Σατανᾶ, διὰ τῆς οἰκείας ἀγνωσίας. Ἀνὴρ δὲ γνωστικὸς πάντα ἐν μέτρῳ ἐργά- KE
ζεται, καὶ καθ' ὃ δεῖ, ὅπως τῇ προσευχῇ καὶ τῇ συνάξει σχολάσῃ· καὶ ἡ εὐχὴ
τῆς πίστεως δίδωσιν αὐτῷ ἰσχὺν καὶ χάριν ἐν παντὶ ἔργῳ ἀγαθῷ. Ἐὰν γὰρ προ-
φάσει τοῦ ἔργου, μὴ συνεισέλθῃ εἰς τὴν ψυχὴν ἀλλότριος λογισμὸς, καὶ συν-
απαχθῇ ὁ ἄνθρωπος τῷ λογισμῷ, εἴτε τῆς φιλαργυρίας καὶ κενοδοξίας, εἴτε τῆς
φιλαυτίας καὶ ὑλομανίας καὶ φθόνου, εἴτε τῆς ἀπιστίας καὶ ὀκνηρίας, εἴτε τῆς Λ
ἄλλ. ἀργίας. ἴσ. λιμμαργίας. * λαιμαργίας καὶ μέθης καὶ φιληδονίας καὶ ἀνυποταγῆς, καὶ τὰ ὅμοια τούτοις· ἐὰν
μὴ διαπταίσῃ τι τῶν προειρημένων παθῶν, καὶ δουλωθῇ ἄνθρωπος τοῖς πάθεσιν,
οὐκ ἔστι βαρὺ ἐργόχειρον τοῦ μοναχοῦ τοῦ διώκοντος τὰ δέοντα καὶ τὰ πνευματικά.
Ἐὰν δὲ ἐπιποθήσῃ ἡ ψυχή τινα τῶν παθῶν, τότε γίνεται ἐν τῷ ἀνθρώπῳ ἐκεῖνο
β Πέτρ. Β, ιθ. Ιωάν. Η, λδ. τὸ γεγραμμένον· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Ἐὰν γὰρ ὑπὲρ βίαν ΛE
ἐργάζῃ ὑπὲρ ὃ δεῖ, καὶ οὐ παρέχεις, ἥττησαι. Ἀλλ' ὅταν περισσεύσῃς, δὸς τῷ ὑστε-
Ρωμ. Ιϐ, η. ρουμένῳ ἐν ἐλεημοσύνῃ, ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Καὶ πάλιν· ἵνα καὶ
β Κορ. Θ, ζ. β Κορ. Η, ιδ, ιε. τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, καθὼς
Ἐξοδ. Ις, ιη. γέγραπται, Ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησεν. Ὁ
ἄλλ. ὑμῶν. ἄλλ. αὐτοῦ ἡ δόξα. δὲ Κύριος κατευθύνῃ * ὑμῶν τὰς καρδίας εἰς τὸν φόβον αὐτοῦ. † ᾧ ἡ δόξα εἰς M
τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΓ

ΔΙΑΦΟΡΩΣ [illegible] μαθηταὶ [illegible] καθ-
εζόμενοι [illegible]
Ε. καινοὺς [illegible] λέγοντ[illegible] ἔξελθε [illegible] καὶ [illegible]
συνάξῃς [illegible] χρείας, [illegible]
ὁ Πονηρὸς [illegible] καὶ φησιν [illegible]
ὥσπερ [illegible] Καὶ ποῖα [illegible]
Ἰδοὺ γὰρ [illegible] ἐγκάρτερή σοι ὁ πόλεμος [illegible]
Ι. ἐὰν μὴ [illegible] ἀποφέρῃς [illegible] Ἀλλὰ [illegible]
εἰς τὸ [illegible] ἔρημον, καὶ σώζῃ [illegible] Κυρίου [illegible] Ψαλμ. λδ', α.
Πλὴν μακρὰν [illegible] σεαυτῆς [illegible]
καὶ ἐσθίειν, [illegible] Καὶ
τί χρείαν ἔχεις καθίσαι ὧδε, [illegible] καὶ [illegible]
ΙΕ. [illegible] Καὶ [illegible]
τέχνην ἑτέραν [illegible]
χὺ δώσῃς [illegible] ὁ Πονηρὸς [illegible]
ἀδελφοῦ. Τότε ἀποκρίνεται ὁ ἀδελφὸς [illegible]
μαι τὸ ὧδε [illegible] εἰς ποῖα [illegible]
Κ. μὴ [illegible] ὧδε. Ὁ Ἐξουσιαστὴς λέγει [illegible]
ἔξελθε, [illegible] Ποῦ γάρ φησιν, ἐγκαταλείπει ὁ Κύριος; Ἔτι [illegible]
ἐγκαταλείπει [illegible] Ἀποκρίνεται ὁ
ἀδελφὸς, λέγων [illegible]
καιρὸς [illegible] ἀντεῦθεν. Ὁ Ἐξουσιαστὴς λέγει [illegible]
ΚΕ. ἀποφέρῃς [illegible] Καὶ [illegible] ὁ ἀδελ-
φὸς εἰς μείζονα [illegible] ἄλλως, ἐρχιδὰς.
[illegible] Ὥσπερ γὰρ [illegible]
ἐὰν μὴ συντόμως [illegible] τὸ πολλὰ [illegible] μέ-
γεθος [illegible]
Λ. [illegible] τοὺς [illegible]
[illegible] Νῆψαι [illegible]
[illegible] ὁ ἀδελ-
φὸς [illegible] λογισμοῖς [illegible]
[illegible] λέγων [illegible]
ΛΕ. πον [illegible] εἰς τὸ [illegible]
σις ὁ γέρων, ἄρχεται [illegible] τοῦ ἀδελφοῦ; [illegible]
καὶ ἄρχεται ὁ γέρων [illegible] τὸν ἀδελφὸν, λέγων ἐγὼ, ἀδελφὲ, [illegible]
[illegible] σε. [illegible] ἀδελφὲ, [illegible]
ἀδελφότητος, [illegible]
Μ. μὴ ἐξέλθῃς [illegible] Εἰπέ μοι [illegible] Ματθ. ιη', α. Γ.
τέκνον, [illegible] τὸν ἀδελφὸν [illegible] Εἰπὲ [illegible] Κυ-
ρίῳ. Εἰ [illegible] Γαλατ. ς', β.

Γαλατ. ϛ, β. τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Τί δὲ καὶ
προσέχεις πλάσμασιν ἀλλοτρίοις; σεαυτὸν ἁγνὸν τήρει. Εἰ δὲ καὶ ἐγώ σε ἐλύ-
πησα, μάρτυς μου ὁ καρδιογνώστης Κύριος, ὅτι οὐ μισῶν σε ἐσπούδακα εἰς σέ,
ἀλλὰ περὶ τῆς σωτηρίας τῆς ψυχῆς σου ἐπιμελητικῶς ἐφρόντιζον. Καὶ τοῖς μὲν ῥήμασιν
εἰκάσαν ὁ ἀδελφὸς, ἕλκεται ὑπὸ τῶν λογισμῶν. Ὁμοίως δὲ καὶ οἱ ἀδελφοὶ ε
παρακαλοῦσιν αὐτὸν, λέγοντες· μὴ ἐγκαταλίπῃς ἡμᾶς, ἀδελφὲ, ἄλλα καὶ με-
τανοοῦντες αὐτῷ. Καὶ ἐὰν πεισθεὶς ὁ ἀδελφὸς ἡσυχάζῃ, ἐν Κυρίῳ ἀπαλλαγῇ
πολλῶν πειρασμῶν καὶ θλίψεων. Εἀν δὲ μὴ πεισθῇ, λέγει τῷ ἡγουμένῳ· οὐχ
ἕνεκα τούτου, ἀλλὰ καταμόνας βούλομαι ἡσυχάσαι. Ἵνα δὲ μὴ μηκύνωμεν τὸν
λόγον. Μὴ πειθομένου τοῦ ἀδελφοῦ, χωρίζεται τῆς ἀδελφότητος, καὶ ἐξελθὼν τοῦ ι
μοναστηρίου, ἔνθα ἦν παρεισελθὼν, περιβάλλεται εἰς τὰ δεξιὰ, καὶ εἰς τὰ εὐώνυμα.
Καὶ ἐὰν τὸν κόσμον ζητήσῃ, καὶ ἐκκλίνας τὴν ἔρημον, εἰς τὸν κόσμον πορευθῇ,
τυφλωθεὶς τῇ διανοίᾳ λέγει ἐν ἑαυτῷ· ἀπαλλαγήσομαι τοῦ μοχθηροῦ βίου τῶν μονα-
χῶν· καὶ σοφίαν ἡγεῖται τὴν ἑαυτοῦ ἀπώλειαν. Ἔοικε γὰρ ὁ τοιοῦτος ἀνθρώπῳ, ὅστις
ὑδρίαν λαβὼν τοῦ ἀντλῆσαι ὕδωρ, καὶ ὑδρίαν οὐκ ἐνέπλησεν ὕδατος, ἀπέστρεψε δὲ λ
καὶ τὸ ἀγγεῖον συνέτριψε. τοιοῦτος καὶ ὁ ἀθετῶν τὴν χάριν τοῦ Κυρίου, καὶ εἰς τὸν
κόσμον πάλιν καὶ τὸν βίον ἐπιστρέφων. Ἐὰν δὲ περιεργαστὴς γένηται ὁ ἀδελφὸς
ἴσ. περιβαίνει. τῷ οἰστρῶν λογισμῷ, εἰς τὴν ἐνδοτέραν ἔρημον * περιβάλλει· συμβαίνει δὲ αὐτὸν
περιβάλλειν γέρουσί τισιν. Οἱ οὖν γέροντες, τῆς φιλοξενίας τὴν ἀρετὴν αἰσκοῦντες,
ἀλλ. Πόθεν εἶ ἀδελφὲ; δέχονται τὸν ἀδελφὸν μετὰ χαρᾶς. Εἶτα ἐπερωτῶσι, * Πόθεν ἀδελφέ; Ὁ δὲ φη- κ
σι, Τοῦ κοινοβίου τοῦδε εἰμὶ, ἀδελφοὶ, καὶ ἀκηδίας μοι περιχυθείσης ἐν τῷ κοι-
νοβίῳ, ἐξῆλθον ἀπ' αὐτοῦ· καὶ νῦν ἐπιζητῶ, ἔνθα καθίσω, καὶ κλαύσω τὰς
ἁμαρτίας μου. Τότε καὶ οἱ γέροντες ἄρχονται παραινεῖν τῷ ἀδελφῷ, λέγοντες·
πορεύου μᾶλλον εἰς τὸ κοινόβιόν σου, τέκνον, καὶ μᾶλλον ἀνάπαυε. Ἴδου γὰρ ὁρᾷς
ἡμᾶς ἐν ποίᾳ στενώσει ἐσμὲν ἐν τοῖς τόποις τούτοις. Ἀκηκόαμεν δὲ καὶ παρὰ τῶν λ
πατέρων, ὅτι καλὰ κοινόβια, καὶ μάλιστα τοῖς νέοις. Καὶ ἐὰν πεισθεὶς ὁ ἀδελφὸς
ὑποστρέψῃ εἰς τὸν τόπον αὐτοῦ, καὶ ἡσυχάσῃ, ἔφυγε θλίψεις πολλὰς καὶ κακάς.
Ἐὰν δὲ μὴ πεισθῇ ὁ ἀδελφὸς τοῖς γέρουσι, τὴν ἐνδοτέραν ἔρημον διώκει. καὶ καθυ-
λακεύουσι ἄρχεται ἡ πεῖνα ἐκθλίβειν αὐτόν. Τότε ἄρχεται ὁ ἀδελφὸς μεταμε-
λεῖσθαι. ἔτι δὲ καὶ οἱ Δαίμονες περισσοτέρως ἐκταράσσουσιν αὐτὸν τῇ δειλίᾳ· καί μ
φασιν· Καλῶς ἐκαθέζου μετὰ τῶν ἀδελφῶν σου· Τίς σε ἀνεστάτωσε καὶ ἐξήγα-
γεν εἰς τὴν ἔρημον ταύτην; Καὶ ποία δικαιοσύνη ἐστὶν, ἐὰν ἀποθάνῃς ἐν τῇ ἐρήμῳ
ταύτῃ κακῷ θανάτῳ; Τότε ἐπιφέρουσι αὐτῷ δειλίαν πολλὴν καὶ φόβητρα καὶ
βασάνους πολλὰς ἐν τῇ διανοίᾳ αὐτοῦ. Τότε καὶ ὁ ἀδελφὸς ἄρχεται λέγειν ἐν
ἑαυτῷ μεταμελόμενος· Καλῶς ἐκαθεζόμην μετὰ τῶν ἀδελφῶν μου. Τίς δὲ με ν
ἐπλάνησέ με; ἢ ποῖος Δαίμων ἠπάτησέ με ἐξελθεῖν εἰς ταύτην τὴν φοβερὰν
ἔρημον, ἔνθα οἰκοῦσι θηρία πολλὰ καὶ δεινά; Τί δὲ ποιήσω ὁ ταλαίπωρος, ἐὰν
ἐμπέσω εἰς χεῖρας τῶν βαρβάρων; Μήποτε καὶ λῃσταῖς περιπέσω. μήποτε καὶ
θηρίον πονηρὸν συναντήσῃ μοι. Ἀλλὰ καὶ Δαιμόνια πολλὰ διατρίβουσιν ἐν
[Ματθ. Δ, α. Λυκ. Η, λϛ.] τοῖς τόποις τούτοις· ἔρημος γὰρ, φησὶν, ὁ τόπος, Καὶ πῶς ἐγὼ δυνήσομαι ν
καὶ Δαιμόνας οἰκεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ; ἔνθα ἐνδελεχοῦσι πνεύματα ἀκάθαρτα·
μάλιστα δὲ καὶ ἐθισθέντος μου μετὰ πλειόνων ἀδελφῶν. Ἐπ' ἀληθείας δὲ, ἐὰν μὴ

νήψῃ ὁ οἶκος [illegible] καταμόνας ἐν τῇ ἐρήμῳ, τάχα καὶ οὕτω φησὶ [illegible], καθὰ καί [illegible]* πολλοὶ [illegible]. Εἶτα μετὰ τὸν λογισμὸν τοῦτον, ἄρχεται ὁ ἀδελφὸς ἐν ἑαυτῷ λέγειν· [illegible] ἀδελφῶν καταμόνας ἡσυχαζόντων. Εἶτα [illegible] πρὸς τοὺς μονάζοντας. Δέχονται αὐτὸν οἱ ἀδελφοὶ μετ' ΕΙΡΗΝΗΣ, παρέχουσι αὐτῷ κελλίον ἐν τῷ μεταξὺ ἑαυτῶν, καὶ προσλαμβάνονται ἐν Κυρίῳ, [illegible] τὴν χρείαν αὐτοῦ. Εἶτα καθέζεται ὁ ἀδελφὸς εἰς τὸ κελλίον αὐτοῦ λέγων·* λοιπὸν [illegible], ὡς καταμόνας οἶκον. [illegible] ἐν κοινοβίῳ, [illegible] φαίνεται. Πᾶν δὲ ζιζάνιον* ἐκ [illegible] καρποῦ [illegible], καὶ ὁ πονηρὸς* ἐν μέσῳ αὐτοῦ. Ἄρχεται λοιπὸν ὁ ἀδελφὸς, πολλάκις ἐν [illegible] συνεχόμενος, μεταμελεῖσθαι, καὶ λέγειν· ἰδοὺ [illegible] πάντοθεν, καὶ οὐδὲ τὴν μικράν μου σύναξιν εὑρίσκω [illegible], τοῖς λογισμοῖς [illegible] ἡμέραν. Ὅτε δὲ ἤμην ἐν τῷ κοινοβίῳ, [illegible] ἐλεύθερος ἤμην, ἡ δὲ μεμετρημένη μου [illegible] εἰς τὴν σύναξίν μου, [illegible]. Νῦν δὲ τί ποιήσω ἐγὼ ὁ ταλαίπωρος; [illegible] τὰς ἁμαρτίας μου [illegible] μοι συμβαίνει· διότι [illegible] νουθεσίαν πατρὸς, ἰδοὺ συνέχουσί με θλίψεις πολλαί. Καλὴ γὰρ σφόδρα ἡ [illegible] τοῦ Ἀδὰμ [illegible] μονα- στηρίου μου. Καὶ μετὰ τοὺς λόγους τούτους συμβαίνει φέρεσθαι τῷ ἀδελφῷ λογισμοὺς δύο· εἷς ἀγαθὸς, καὶ εἷς πονηρός. ὁ δὲ πονηρὸς τοιαῦτα ὑποβάλλει, λέγων· ἰδοὺ καὶ τὸ κοινόβιον [illegible], καὶ τῆς ἐρήμου [illegible]. καὶ ἐὰν ὑποστρέψῃς εἰς τὸ κοινόβιον, αἰσχύνη σοι ἐστὶ καὶ ὄνειδος. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐν τοῖς κοινοβίοις θλίψεις ὑπάρχουσιν, ἀλλὰ καὶ σκάνδαλα πολλά. Καὶ πάλιν ἐν τῇ ἐρήμῳ ταύτῃ δειλία ὑπάρχει καὶ κόπος [illegible]. Ἀλλὰ μᾶλλον [illegible], πορεύου εἰς τὸν κόσμον· καὶ ἐκεῖ γὰρ, φησὶν, ἐὰν θέλῃς φοβηθῆναι τὸν Θεὸν, σώζῃ. ἢ δοκεῖς, ὅτι μόνοι οἱ ἐν τῇ ἐρήμῳ σώζονται; Ἐὰν δὲ ᾖ σοφὸς ὁ ἀδελφὸς, ἀποκρίνεται* τῷ λογισμῷ, λέγων· εἰ γὰρ ἐν τῇ ἐρήμῳ, ὅπου πολλὴ ἡσυχία καὶ γαλήνη, οὐκ [illegible] ἡσυχάσαι, ἐὰν πορευθῶ εἰς τὸν κόσμον, τί οὖν; μέλλεις ἐγείρειν κατ' ἐμοῦ [illegible]; Ταῦτα γὰρ ὑποβάλλει ὁ Ἐχθρὸς, θέλων αὐτὸν ἀνακάμψαι ὡς κύνα ἐπὶ τὸ ἴδιον ἐξέραμα. Ἐὰν γὰρ καὶ συγκαταπεισθῇ ὁ ἀδελφὸς τῷ λογισμῷ, εὐθέως εἰς τὸν κόσμον ἐλαύνει αὐτὸν ὁ Ἐχθρός. Εἰ δὲ [illegible] ἡ ψυχὴ τοῦ ἀδελφοῦ εἰς τὸ σωτήριον τοῦ Κυρίου, ὁ Θεὸς δίδωσιν αὐτῷ λογισμὸν ἀγαθὸν εἰς τέλος δικαιοσύνης. Τοιαῦτα οὖν τὰ* προβλήματα τοῦ ἀγαθοῦ λογισμοῦ. Καί φησιν, ἰδοὺ καὶ τῆς ἐρήμου ἐπειράθης. Τοιγαροῦν δοκίμασον τὸν λογισμόν σου, καὶ [illegible] βλέπεις, ὅτι οἰκοδομεῖται ἡ ψυχή σου εἰς τὸ ἀγαθὸν, ἐκεῖ μένε. Ἐὰν δὲ καὶ ἐν τοῖς τόποις τούτοις βουληθῇς ἡσυχάσαι, ὡς καὶ οἱ λοιποὶ ἀδελφοὶ οἱ καθεζόμενοι διὰ τὸν Κύριον, ὁ Κύριος Ἰησοῦς Χριστὸς οὐ μή σε [illegible], ἀλλ' αὐτός σε φροντίσει, μόνον ἐν φόβῳ Θεοῦ ἀναστρέφου. Εἰ δὲ καὶ εἰς τὸ κοινόβιον θέλει ἀναστρέψαι, καὶ τοῦτο κρεῖσσον. Καὶ μὴ εἴπῃς ἐν τῇ διανοίᾳ σου, λέγων· αἰσχύνομαι ὑποστρέψαι πρὸς τοὺς ἀδελφούς μου. ἡγεῖται με γὰρ ἔχουσιν, ἐὰν ὑποστρέψω πρὸς αὐτοὺς, ὡς ἀδόκιμον καὶ μὴ ὑπομείναντα τὸν [illegible] τῆς ἐρήμου, ἀλλὰ [illegible], ὡς δειλὸν στρατιώτην, ἀπὸ παρατάξεως πολέμου. Οὐχ οὕτως, ἀδελφέ μου, οὐχ

Marginal notes: χώραν. — λείπει τινά. — ἄλλον, ἐπί. ἀλλ. ἐκ πόντου. — Γένεσ. Β, ιζ. Γ, ϛ, κγ. — γ. αὐτῷ, λέγων. — β Πέτρ. Β, κβ. Παροιμ. Κϛ, ια. — τουτέστιν, ὀχυρώματα.

ἐστιν· ἀλλὰ σὺ μᾶλλον, ὡς ἔμπειρος, τῇ ἐρημίᾳ ἐν τῷ Ἀποστόλῳ συμπλη-
α Θεσσαλ. Ε, κα. ρώσεις. Λέγει γάρ· Πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε. Καὶ ἰδοὺ,
Ψαλμ. Ρλγ, α. δὴ τὰ ἀμφότερα δεδοκίμακα. Εὗρον ὅτι καλὸν καὶ τερπνὸν, τὸ κατοικεῖν
Παροιμ. Ιη, ιθ. ἀδελφοὺς ἐπὶ τὸ αὐτό. Καθὼς γέγραπται· Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθού-
μενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον. Ε
Καὶ κατανυγεὶς ὁ ἀδελφὸς ἐπὶ τούτοις, ὑποστρέφει εἰς τὸ κοινόβιον. Δέχεται
αὐτὸν ὁ ἡγούμενος τῆς κοινοβίας, καὶ οἱ ἀδελφοὶ ἀσμένως, διὰ τὸ Ἀντ-
α Θεσσ. Ε, ιδ. έχεσθε τῶν ἀσθενούντων· καὶ δίδωσιν αὐτῷ κελλίον. Καὶ μεθ' ἡμέρας τινὰς, τοῦ ἀδελ-
φοῦ ἡσυχάζοντος ἐν τῷ κελλίῳ αὐτοῦ, ἔρχεται ὁ Πονηρὸς τὰ τοιαῦτα ἐκθλίβειν
καὶ ὑποβάλλειν αὐτῷ, καί φησι· Πάλιν εἰς τὰ ἀρχαῖα ἀπελήλυθας; Οὐκ ἤρκει Ι
σοι μόνη ἡ ἐλευθερία τῆς ἐρήμου, ὅπου οὔτε ἐλευθέρως βουλόμενόν τι, οὔτε ἐξουσιοδυ-
ἄλλ. κατά τινος. λίζεις, οὔτε ἐλάλεις μετά τινος; Καὶ ἀπὸ τότε πάλιν ἄρχονται οἱ δαίμονες
ἐκθλίβειν τὸν ἀδελφὸν, ὥστε εἰ δυνατὸν ἐξορύξαντα τὸ τεῖχος τοῦ μοναστηρίου ἐκ-
φυγεῖν. Τοσοῦτο πολεμούμενος ὑπὸ τοῦ πονηροῦ Διαβόλου. Ἐκ γὰρ λογισμῶν
φέρει αὐτῷ καὶ ἀκηδίαν εἰς τὸ μακρὰν ἐξορκισθῆναι θέλων πάλιν ἀναχωρῆσαι ΙΕ
αὐτὸν τοῦ κελλίου. Ἐὰν δὲ ᾖ φρόνιμος ὁ ἀδελφὸς (καθὼς γέγραπται· γί-
Ματθ. Ι, ιϛ. νεσθε φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί) ἀντιλέγει πρὸς αὐ-
τοὺς, λέγων· εἰ μὲ ἐπαγγελλόμενοι, ἐξάγετε ἀναιδῶς. Διότι τῆς συμβουλίας
ὑμῶν ἐγὼ οὐκ ἀνέχομαι· ἡ γὰρ συμβουλία ὑμῶν μεστὴ τῆς θανατηφόρου. Ἀκού-
σας γὰρ ὑμῶν τὸ πρότερον, ἐξῆλθον τοῦ μοναστηρίου, νομίζων εἰς προκοπὴν ἐλθεῖν. Κ
ἄλλ. μοναστηρίου. Καὶ τοῦ μὲν * κελλίου ἐξῆλθον, ὠφέλειαν δὲ οὐκ ὠφελήθην· πλὴν ὅτι ἔγνων,
ὅτι πᾶσαι αἱ ὁδοὶ ὑμῶν, σκότος· καὶ ὁ ἐν αὐταῖς περιπατῶν, ἐν σκότει πορεύεται.
Ἐγὼ γὰρ, ἀπὸ τοῦ νῦν, τοῦ Θεοῦ μοι συνεργοῦντος, δοῦλός εἰμι τινος· τοῦτο ἐλθὼν
ὁ Κύριός μου παρέθετό με τῷ ἡγουμένῳ τοῦ μοναστηρίου, ἔνθα ἐγὼ παροικῶ· διὸ
οὐκ εἰμι αὐτεξούσιος. καὶ ὑπὲρ τοῦ μακροῦ ἀποχείσω, τί με ἐκθλίβετε; Μὴ χαλ- ΚΕ
λίον εἰμὶ ἐγὼ τῶν κοσμικῶν, οἵτινες οὐ μόνον ἡμέρας ἐργάζονται, ἀλλὰ καὶ τῆς
ἄλλ. οἰκιδίου. νυκτὸς, καὶ περὶ φροντίδας εἰσὶ γυναικῶν τε καὶ τέκνων καὶ κέλλης καὶ * ἐνοικίας;
Ματθ. Ια, λ. Ἐμὲ δὲ τούτων ἀπάντων ἠλευθέρωσεν ὁ Χριστός· ὅτι ὁ ζυγὸς αὐτοῦ χρηστὸς, καὶ τὸ
Ψαλμ. Ριθ, ριε. φορτίον αὐτοῦ ἐλαφρόν ἐστι. Διὰ τοῦτο, ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ
ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ. Ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. Λ

ΠΕΡΙ ΑΚΗΔΕΙΑΣ ΚΑΙ ΥΠΟΜΟΝΗΣ ΓΕΡΟΝΤΩΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΔ.

ΥΠΟΒΑΛΛΕΙ ὁ ἐχθρὸς τῷ ἀδελφῷ τοιαῦτα ἔτι ἔχειν ἐν τῷ αὐτῷ
τόπῳ τούτῳ τῷ Δεσπότῃ Χριστῷ δουλεύειν. νῦν δὲ γεγήρακας, καὶ οὐκ ΛΕ
ἰσχύεις ἔτι φέρειν τοὺς κανόνας τοῦ τόπου τούτου. Ἡ γὰρ σάρξ σου ἀσθενὴς γέγονε, καὶ
οὐκ ἔτι ὑπάρχει σοι ἰσχὺς τοῦ ποιεῖν τι πάνυ· καὶ μάλιστα τοῦ λοιποῦ ἐξησθένησας ὑπὸ
μακρῶν τε καὶ μεγάλων. ἀλλὰ καὶ διὰ τὸ γῆρας σε ἀναπαύσεως χρῄζεις. Δεῦρο
οὖν, ἔξελθε ἐντεῦθεν, καὶ καθέζου ἐν ἑνὶ τόπῳ, καὶ ἡσύχασον καὶ εἴτε ἐξ ἀγά-
πης, εἴτε ἐξ οἰκονομίας παραφαίσεως, ὁ Θεὸς ἀποστελεῖ τὴν τροφήν σοι. Ποία Μ
γὰρ ἀνάγκη σοι ἐπίκειται, ἵνα καὶ ταλαιπωρῶν ἀναμένῃς περὶ τῆς τροφῆς σου;
Τί δὲ καὶ ἡ βρῶσίς σε τυγχάνει, ὅτι ἔπος καθ' ἑκάστην ἡμέραν ταλαιπωρεῖς, ὡς

χρηκὸς δοῦλος; καὶ ἀνέχει τοῖς μακροτέροις σε ὑποστῆναι; Ταῦτα καὶ τὰ τοιαῦτα ὑποβάλλει ὁ Πονηρὸς τῷ γέροντι, βουλόμενος αὐτὸν χωρίσαι τῆς ἀδελφότητος μεθ' ἧς ὑπέμεινεν ἔτη, καὶ τοῦ τόπου ἐν ᾧ ἐγήρασε, καὶ συναγαγεῖν αὐτὸν τῷ [illegible] εὐθὺς καὶ παρασχήματι μεταστρέφεται, καὶ ἐλαύνεται ὑπ' αὐτοῦ, ὡς φρύγανον ὑπὸ ἀνέμου σαλευόμενον. Ἐὰν δὲ ᾖ ὁ γέρων τῷ λογισμῷ τέλειος, καὶ μὴ [illegible] φέρηται, ταχέως αἰσθάνεται τῆς πανουργίας, οὐδὲ πείθεται αὐτῷ, ὡς ἔστιν ἀλύπως. Οὐ γὰρ ἰσχυρότερον τῆς εὐσεβείας λογισμοῦ, ἀντιλέγει ὡς [illegible] ὁ γέρων, λέγων· Οὐ μή με χωρίσῃς τῆς ἀγάπης, πονηρὲ δαῖμον· οὐ γὰρ τὰ πονηρά σου νοήματα ἀγνοοῦμεν. Εἰ γὰρ ἐν τῇ νεότητί μου ὑπέμεινα σὺν πάσαις καρτερίαις, πολλῷ μᾶλλον νῦν ὑπομενῶ, ὅτι ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκε, τοῦ εἶναί με σὺν Χριστῷ. Καθὼς καὶ ὑμεῖς μοι διαμαρτύρεσθε, γεγήρακα, καὶ ἡ σάρξ μου ἀσθενὴς γέγονε, ποῦ πάλιν πορευθῶ; Ὁ γὰρ γηράσας οὐδὲν ἕτερον προσδοκᾷ, εἰ μὴ τοῦ ἀναλῦσαι τοῦ βίου· ἅμα δὲ μή ποτε, ἵνα τύπος γένωμαι ῥαθυμίας, καὶ οὐχ ὑπομονῆς. Εἰ γὰρ ὁ εὐσεβὴς γέρων ὁ Ἐλεάζαρος χαλεπαῖς βασάνοις καταπλαττόμενος, οὐ μετέστρεψε τὸν λογισμὸν ὅπως ὁ νέοι τῆς ἡλικίας εἰς τὴν τῆς ὑπομονῆς ἀφορῶντες καταφρονήσωσι τῶν βασάνων τῶν ὁρωμένων· καὶ ἐνίκησεν τὸν τύραννον ὁ παλαιὸς ὅσιος παῖς τῇ ἀνδρείᾳ· Καὶ ἐν τούτῳ ἐναντίως τοῦ δαιμονιώδους λογισμοῦ, ἐὰν μείνω τῇ αὐτῇ γνώμῃ, τὸν δρόμον συντελέσας· καὶ * τελευτήσω ἐν τῷ τόπῳ, ἔνθα γεγήρακα, κομιζόμενος τὸν στέφανον τῆς ζωῆς, ἀκούων παρὰ τοῦ Κυρίου, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· ᾧ ἡ * δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἄλλ. πόνον.

ἄλλ. αὐτὸν τοῦ τόπου. ἔτι καὶ αὐτὸν τῶν πρότων.

β Τιμοθ. Δ, ς.

β Μακκαβ. ς, ιη. καὶ τὰ ἑξῆς.

β Μακκαβ. Ζ, α. κ. τ. λ.

ἄλλ. τελευτᾷ.

Ματθ. Κε, κα.

ἄλλ. δόξα καὶ βασιλεία τῷ πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, παρὰ πίστεως.

†ΠΕΡΙ ΜΕΤΑΡΣΕΩΣ ΤΟΠΟΥ ΕΙΣ ΤΟΠΟΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΕ.

Η Πίστις μήτηρ ἐστὶ παντὸς ἔργου ἀγαθοῦ, καὶ δι' αὐτῆς κτᾶταί τις τὰς ἐπαγγελίας τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καθὼς γέγραπται· χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. Εὐκαρποφόρον δὲ κτῆμα τῷ Διαβόλῳ τυγχάνει ἡ ἀπιστία, ἥτις ἐστὶ μήτηρ παντὸς ἔργου πονηροῦ. Ἐξ αὐτῆς τίκτεται ἡ διψυχία, ἥτις ἐστὶν ἀταξία. ἀνὴρ δίψυχος, φησὶν, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Ἐὰν ἐξέλθωμεν εἰς τὴν ἔρημον, ἐν τῇ ἐρήμῳ οὐχ ἡσυχάζουσιν οἱ πόδες ἡμῶν· καὶ ἐὰν ἔλθωμεν εἰς τὰ οἰκούμενα, τοὺς τὴν ἔρημον * διώκοντας μακαρίζομεν. Ἀδελφοὶ, ἐὰν μὴ σπείρωμεν, πῶς θερίσωμεν; Τοὺς καρποὺς τῷ καρποδότῃ μὴ προσφέροντες, καὶ καρποφορεῖν πῶς δυνάμεθα; Τὴν θλῖψιν μὴ ὑποφέροντες, ἄνεσιν πῶς εὑρίσκωμεν; Ἐν τῇ ἐρήμῳ μὴ προσκαρτεροῦντες, πῶς ἀπολαύσωμεν τὸν μισθὸν τῆς ξενιτείας ἡμῶν; Τῇ πλεονεξίᾳ καὶ τῇ στενώσει μὴ ὑπομένοντες, ἀληθινὸν πλοῦτον πῶς εὑρήσομεν; Ἐν ὕβρεσι δὲ * λύπαις καὶ ἐξουδενώσει μὴ εὐδοκοῦντες, τοῖς ἴχνεσι τοῦ Δεσπότου Χριστοῦ πῶς ἐξακολουθήσωμεν, ἐν ὑποταγῇ πρεσβυτέρων ἐν Κυρίῳ μὴ ἀνεχόμενοι, ἀπὸ τόπου εἰς τόπον ἕτερον μετερχόμενοι; Πρῶτον ὀφείλει καθαρισθῆναι ἐκ τῶν ἰδίων λογισμῶν, διατί, καὶ διὰ ποίαν αἰτίαν βούλεται καταλιπεῖν τὸν τόπον ἐν ᾧ

ἄλλ. [illegible]

Ἑβρ. Ια, ς.

Ιακ. Α, η.

ἄλλ. διώκοντας.

Γαλατ. ς, ζ, η.

ἄλλ. πληγαῖς.

οἰκεῖν· μᾶλλον τὸν κόπον θέλων φυγεῖν, τὴν ἔρημον διώκῃ, οἰόμενος καταφύγιον τόπον ἐν τῇ ἐρήμῳ μένειν πάλιν ὑπὸ τοῦ μισοκάλου Δαίμονος, ζήλῳ τε φθόνου πληγεὶς, ὡς ἑτέρου ἀδελφοῦ προκόπτοντος εἰς τὰ βελτίονα, αὐτοῦ μὴ ἐπιτυχόντος τῆς ἀρετῆς, καὶ ταῦτα χρείαν βέβληται καταλιπεῖν τὸν τόπον. μᾶλλον γὰρ τὸν

ἄλλ. πόνον. *πόλεμον φυγὼν τῆς ἀρετῆς, ὁ ἐν ὑποταγῇ Χριστοῦ μὴ ὑπεχόμενος ἐστὶ, τὴν μονίαν διώκει· μᾶλλον καὶ πληρουμένην γαλήνην διώκων, τὸν τόπον αὐτοῦ βέλτιστον καταλιπεῖν· ὅσος γὰρ λογισμοὶ ἀλλάσσει ταῦτα. Ἐὰν οὖν προσεξέρχεσθαι ἐν ἐρημονήσωμεν, καὶ ἀπαγγείλαντες τὸ ἐνοχλοῦν ἡμῖν πάθος, τότε μὴ ἐξακολουθήσωμεν,

Ματθ. Ιβ, μγ. Λουκ. Ια, κδ. ἵνα μὴ ἐμπέσωμεν εἰς τὰς χεῖρας τῶν πονηρῶν Δαιμόνων, εἰς ἐρήμους τόπους καὶ ἀνύδρους. Πείραζε οὖν σεαυτὸν ἰσχυρῶς, εἰ ὄντως ἐν ἀληθείᾳ κατὰ Θεὸν ἐστὶ τὸ γινόμενον, καὶ οὐκ ἐν διεφθαρμένῃ συνέσει. Ὥσπερ ὁ μετὰ βουλῆς ποιῶν πάντα, ἔοικεν ὁ τοιοῦτος ἀνδρὶ διώκοντι πληρῶσαι τοῖς ἰδίοις ποσὶν, αὐθαιρέτως ποιῶν τὰ

ἄλλ. Κυρίου. καθ' ἑαυτόν. Βουλὴ δὲ ἀγαθὴ περὶ τὰς ἐντολὰς τοῦ *Χριστοῦ. Καὶ τί δεῖ λέγειν πρὸς ταῦτα; πληθύνει οὖν χρεία, ἀγαπητοί. ἔστι δὲ ὅτε καὶ διὰ δικαιωμάτων προξενεῖται τοῖς ἀδελφοῖς ὁ Ἐχθρὸς. καὶ ἐὰν συγχωρηθῇ ὁ ἀδελφὸς, ἵνα χωρισθῇ τοῦ τόπου, μηχανᾶται ὁ Ἐχθρὸς παγιδεῦσαι αὐτὸν ἐν ἑτέρῳ τινί. Ἐὰν δὲ διώξωσιν ἡμᾶς οἱ ἄνθρωποι ζήλου πάθους ἕνεκεν, ἢ βιαζόμενοι συγκοινωνεῖν ἔργοις ἀλλοτρίοις, καὶ φύγωμεν εἰς ἕτερον τόπον, παῤῥησίαν ἔχομεν πρὸς τὸν

Ματθ. Ι, κγ. Λουκ. Ε, ε. Θεόν. Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος πρὸς τοὺς ἑαυτοῦ μαθητάς· ἐὰν διώξωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν

Λουκ. Ι, ζ. ἄλλην. Περὶ δὲ τοῦ μὴ ῥεμβεύεσθαι, εἶπε πάλιν ὁ Σωτήρ· καὶ μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. Καὶ πάλιν· εἰς ἣν δ' ἂν πόλιν εἰσέλθητε, ἐκεῖ μένετε. Ἐὰν δὲ τὰ θελήματα ἡμῶν θέλομεν ποιεῖν, ποία ἀρετὴ αὕτη; Εἰ δὲ προσεχοῦντες ἡμᾶς ἀφορίσωσι, δῶμεν τόπον. Ἀντιστῶμεν δὲ τῷ Διαβόλῳ μᾶλλον. οὕτω γὰρ ἐποίει

α Βασιλ. Ιη, α. κ. τ. λ. ὁ Δαβὶδ, τοὺς ἀλλοφύλους πολεμῶν, ἀπὸ προσώπου Σαοὺλ ὑπεχώρει. Ἐὰν καὶ οὖν ἡσυχάζῃς καλῶς ἐν τῇ ἐρήμῳ, καὶ ὀχλήσῃ σοι λογισμὸς, μετάξαι εἰς τὰ

ἄλλ. ἀντιπίπτει. οἰκούμενα, *ἀποκρίθητι αὐτῷ τὸν πόλεμον τοῦ κόσμου καὶ τὸ συμβαῖνον ποτὲ εἰς τὰ οἰκούμενα. Ἐὰν δὲ καὶ εἰς κοινόβιον ἡσυχάζῃς καλῶς, καὶ ὀχλήσῃ σοι λογισμὸς,

ἄλλ. ἀντιπίπτει. εἰς τὴν ἔρημον εἰσελθεῖν, *ἀποκρίθητι αὐτῷ τὸν πόλεμον καὶ τὸν κόπον αὐτῆς. Ἐὰν δὲ καὶ κατὰ μόνας ἡσυχάζῃς καλῶς, καὶ ὀχλήσῃ σοι λογισμὸς ἐν συνοδίᾳ

ἄλλ. ἀντιπίπτει. ἀδελφῶν πλειόνων εἰσελθεῖν, *ἀποκρίθητι αὐτῷ τὸν ἀγῶνα τῆς κοινοβίας, ἅμα δὲ καὶ τὴν ἀνταπόδοσιν. Καὶ μὴ συμπεριφερώμεθα ἀκρίτως τοῖς ἰδίοις λογισμοῖς.

Σοφ. Σειρ. ς, β, γ. οὐ γὰρ οἴδαμεν τί συμφέρει ἡμῖν. καθὼς ἡ Σοφία λέγει· μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυχῆς σου, ἵνα μὴ διαρπαγῇ ὡς ταῦρος ἡ ψυχή σου. τὰ φύλλα σου

ἄλλ. κόπους. καταφάγεσαι, καὶ τοὺς *καρπούς σου ἀπολέσεις, καὶ ἀφήσεις ἑαυτὸν ὡς ξύλον ξηρόν. σωτηρία δὲ γίνεται ἐν πολλῇ βουλῇ. Ἀλλὰ πολλάκις θέλει λέγειν, ὅτι διὰ τὰ σκάνδαλα καὶ τινὰ καταλαλιὰν, θέλω φυγεῖν ἐντεῦθεν. ἄναρχου οὖν, καὶ συμβουλεύσω σοι ῥῆμα. Θέλεις φυγεῖν τὰ σκάνδαλα καὶ τὴν καταλαλιάν;

Ψαλμ. Ρμ, γ. Ριθ, λζ. Θὲς θύραν τῷ στόματί σου ἐν Κυρίῳ, καὶ τοὺς ὀφθαλμούς σου ἀπόστρεψον τοῦ μὴ ἰδεῖν ματαιότητα· καὶ ἀμφότερα φυλάξεις, τὴν μὲν καταλαλιὰν διὰ τοῦ στόματος, καὶ τὰ σκάνδαλα διὰ τῆς φυλακῆς τῶν ὀφθαλμῶν. Ἐὰν γὰρ ταῦτα μὴ ποιήσωμεν, ὅπου δ' ἂν πορευθῶμεν, ἐν ἑαυτοῖς βαστάζομεν τοὺς πολεμοῦντας ἡμᾶς.

πρώτως ἠγάπησας, ἀγαπητέ, καὶ ἕξεις ἀνάπαυσιν, ὅπου [illegible] [illegible] πολ-
λάκις [illegible] λέγει, ὅτι ἐγκακεῖ ἡ ἀναστροφή μου καὶ ἡ ἀμέλειά μου πᾶσι
τοῖς ἀδελφοῖς. [illegible] ἐν τῷ τόπῳ τούτῳ. [illegible] γὰρ ἐγὼ
ποθήσω τὴν ἀρετήν, ἀλλ᾽ οἱ ἄνθρωποι, μεθ᾽ ὧν καὶ κατοικῶ, οἱ αἴτιοί εἰσιν. Ἄκουε
E. τοίνυν, ἀγαπητέ, [illegible] ἀγαθὸν [illegible], καὶ ὄψει ὅτι ὁ Κύριος [illegible] τὴν
συνείδησίν σου καὶ τῶν ἀδελφῶν σου εἰς τὰ κατὰ σέ. Εἴ πως [illegible] [illegible] τὸν
τόπον τῶν ἀδελφῶν [illegible] εἰς τὰ κατὰ σέ, φεύγεις μὲν ὀνειδι-
σμὸν τῶν ἀνθρώπων, καὶ [illegible] εἰς ἕτερον τόπον, ἔνθα δόξης ἐπιτυχὼν, καὶ μὴ
μνημονεύσῃς ἔτι τῶν προτέρων ἐλαττωμάτων τῷ προφήτῃ λέγοντι· ὀνειδισμὸν
I. προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν. Πάνυ γὰρ συμβάλλεται ὁ ὀνει- Ψαλμ. ξθ, κ.
δισμὸς καὶ ἡ ἐξουθένωσις ὑπὸ ἀνθρώπων διὰ τὸν Κύριον, πρὸς κληρονομίαν [illegible]-
πῶν. Καὶ πειθέτω σε ὁ Προφήτης, λέγων· ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη Ψαλμ. ρλε, κγ.
ἡμῶν ὁ Κύριος, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. [illegible] εἶτα κατ-
έβαλεν ὁ Ἐξεναντίας, ἐγερθεὶς καταπάλαισον κατὰ τοῦ Ἐχθροῦ ἵνα [illegible] σε
IE. τὰ ἐλαττώματα, φανερωθῇ αὐτοῖς καὶ τὸ κατόρθωμα. καὶ ἐν πάσῃ κομίσῃ
δόξαν παρὰ Κυρίου μεγάλην. Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόν-
τος· καὶ ἔσονται οἱ πρῶτοι, ἔσχατοι, καὶ οἱ ἔσχατοι, πρῶτοι. Ἀφ᾽ ἧς γὰρ τὸ Ματθ. ιθ, λ.
ῥυπωθὲν ἱμάτιον ἐπλύθη, οὐκ ἔτι ὡς ῥυπαρὸν ἀφορισθήσεται μετὰ τῶν ῥυπαρῶν. Ἐὰν Λουκ. ιγ, λ. [illegible]
δὲ κατὰ φθόνον ἢ ζῆλον πονηρὸν, ἐπονομάσῃ τις τὸ καθαρὸν, ῥυπαρόν· οὐ πιστευθή-
K. σεται. ὁ γὰρ ἰδέα τοῦ ἱματίου ἐλέγξει αὐτόν. Πλυνεῖς με, γάρ φησι, καὶ ὑπὲρ Ψαλμ. Να, ζ.
χιόνα λευκανθήσομαι. Πρὸς δὲ τὸν [illegible] σοι καὶ θέλοντά σε μεταστρέφειν
σε ἀπὸ τοῦ λογισμοῦ πάλιν εἰς τὰ ἀρχαῖα κακά, λέγει ἡ Γραφή· οὐαὶ ὁ ποτίζων Ἀμβακ. Β, ιε.
τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν. Ὦ οἱ ἐγκαταλιμπάνοντες ὁδοὺς εὐθείας, Παροιμ. Β, ιγ,
τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους· οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ ιδ, ιε, ιϛ, ιζ, κ, κα, κβ. τῶν ό.
KE. διαστροφῇ κακῇ· ὧν αἱ τρίβοι σκολιαί, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ
μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δικαίας γνώμης. Διὸ
λέγει· εἰ γὰρ καταλαμβάνονται ὑπὸ τῆς [illegible] ζωῆς. εἰ γὰρ ἐπορεύοντο τρίβους ἄλλ. ἐνιαυτόν.
ἀγαθάς, εὕροσαν ἂν τρίβους δικαιοσύνης λείας. χρηστοὶ ἔσονται οἰκήτορες γῆς,
ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ. ὁδοὶ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται· οἱ δὲ παρά-
Λ. νομοι ἐξωσθήσονται ἐξ αὐτῆς. Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου· τὰ δὲ ῥήματά Παροιμ. Γ, α.
μου τηρείτω σὴ καρδία. Ὅτι τῷ Θεῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΑΡΑΙΝΕΣΙΣ Κϛ.

ΕΑΝ συμβῇ ἀδελφὸν τοῦ κοινοβίου [illegible] [illegible] [illegible], καὶ
ΛΕ. αὐτὸν συμβῇ ἀσθενεῖν ἐν ἀῤῥωστίᾳ, ἢ καὶ [illegible] [illegible], οὐ δεῖ
[illegible] τὸν ἀδελφὸν, ἀλλὰ προσλαμβάνεσθαι ἐν Κυρίῳ, ὡς ἴδιον μέλος, εἰ
καὶ ἥμαρτεν. Ἀλλὰ σὺ οὐκ ἀνθρώπῳ ποιεῖς, ἀλλὰ τῷ Κυρίῳ, τῷ εἰπόντι· ἐν τού- Ματθ. Κε, μ.
των τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. Τὸ γὰρ περὶ ἑαυτοῦ μόνου φροντίζειν,
κωλυτὸν τοῦ Σωτῆρος ἡμῶν εἰπόντος· μὴ μεριμνήσητε ταῖς ψυχαῖς ὑμῶν, τί Ματθ. ϛ, κε, λβ.
M. φάγητε. καὶ τὰ ἑξῆς. Διὸ ἐπάγει, λέγων· ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπι-
ζητεῖ. Ὅθεν καὶ διὰ τοῦ Ἀποστόλου παραγγέλλει, λέγων· μὴ τὰ ἑαυτοῦ ἕκαστος Φιλιπ. Β, δ.
σκοπείτω, ἀλλὰ καὶ τὰ τοῦ ἑτέρου. Καὶ πάλιν ὁ αὐτὸς λέγει· [illegible] α Κορινθ. Ιε, λα.

α Κορ. ΙΓ, λα. β Κορ. Ιγ, α. β, γ, δ, ε, ζ, η.

βολίαν οὐδὲν ὑμῖν διαφέρομαι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Καλὴ οὖν ἡ [illegible] [illegible] βέβαιοι ἐλεημοσύνη. Ἔλεον γὰρ θέλω, καὶ οὐ θυσίαν, φησὶν ὁ Θεὸς [illegible] προφήτου, [illegible] Αὕτη [illegible] ἔλεος, καὶ [illegible] καὶ [illegible] τῇ [illegible] ἐν [illegible] μνημόσυνον [illegible] ὅτι [illegible] κατεδίωξεν [illegible] τὸ ἄλλος [illegible] Διὸ μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Τί γὰρ ὁ ἄγγελος φησὶ πρὸς Κορνήλιον; [illegible] αἱ προσευχαί σου μόνον, ἀλλὰ καὶ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. Δέξαι οὖν τὸν πλανηθέντα καὶ μετανοήσαντα, τὸν ὡς νεκρὸν [illegible] ἐν βάθρεις τῆς ἀφοβίας τοῦ Θεοῦ, καὶ ἀμελείας. Ἄκουε τοῦ Ἀποστόλου λέγοντος· Κυρώσατε εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Καὶ πάλιν λέγει· Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενούντων, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας. Καὶ γὰρ ὁ Κύριος τῆς δόξης οὐκ ἀπεβάλλετο τὸν ἄσωτον υἱὸν, ἀλλὰ προσελάβετο αὐτὸν, ὡς ἐκ νεκρῶν ἀναστάντα, καὶ ἐνέδυσε στολὴν τὴν πρώτην, καὶ ὑπέδησε, καὶ δακτύλιον ἐχαρίσατο, καὶ τὸν σιτευτὸν μόσχον ἔθυσε, [illegible] εὐφρανθῆναι ἐπὶ τῇ εὑρέσει τοῦ ἀπολωλότος υἱοῦ. Τοῦ δὲ ἑτέρου λυπηθέντος, καὶ αὐτὸν ἐθεράπευσε παρακαλῶν, εἰπών· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι οὗτος ὁ ἀδελφός σου νεκρὸς ἦν, καὶ ἀνέζησε· ἀπολωλὼς, καὶ εὑρέθη. Διὰ [illegible] μίας [illegible] τοὺς [illegible] τῆς ἀδελφότητος. Σὺ δὲ, ἀδελφὲ, ἐλέους τυχὼν, μὴ καταφρόνει· ἀλλὰ μίμησαι τὸν μετανοήσαντα καὶ ἐπιστρέψαντα υἱόν. Οὗτος φθάσας [illegible] πατέρα, οὐ [illegible] τῇ λύπῃ τῆς ἁμαρτίας, [illegible] ἔκραξε, καὶ ἐξομολογήσατο ἐν ἀληθείᾳ, καὶ [illegible] εἰπών· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Ὁρᾷς [illegible] ταπείνωσιν; Καὶ ἡμεῖς οὖν, ἀγαπητοὶ, [illegible] τὰ λοιπὰ, ὅπως καὶ τὸν [illegible] ἀδελφὸν [illegible] πόρρω* [illegible]. Ὁ γὰρ τοῦ ἑαυτοῦ ἀδελφοῦ καταφρονῶν [illegible] καὶ τῆς [illegible] καταστροφῆς. Πρὸς ὃν ὁ Προφήτης λέγει· [illegible] Δουλεύσωμεν οὖν τῷ Κυρίῳ ἐν φόβῳ καὶ πάσῃ σωφροσύνῃ. Νοήσας δὲ [illegible]

Ὡσηέ, ς, ς. Ματθ. Θ, ιγ. ΙΒ, ζ.
Ψαλμ. Ρθ, [illegible]
Ψαλμ. Ξθ, κς.
Ματθ. Ε, ζ.
Πράξ. Ι, δ.
β Κορ. Β, ζ, η.
α Θεσ. Ε, ιδ, ιε.
Λουκ. Ιε, ια. καὶ τὰ ἑξῆς.
Λουκ. Ιε, ιη, ιθ.
ἄλλ. ἀναπαυσόμεθα.
Ἀμβακ. Β, ιε.

λεγόμενά σοι. Μὴ πρὸς ὀλίγον παιδεύσῃς ἑαυτὸν, καὶ μετ᾽ ὀλίγον γογγυσμὸς, μηδὲ ἐν προφάσει ἀπαρχεῖν, τὴν συνάξεως σε καταφρονήσῃς. Ὥσπερ γὰρ τὰς συνάξεις ἀπέρχῃ, οὕτως καὶ ἡ σύναξις πρὸς ὠφέλειαν ψυχῆς. Μὴ σήμερον ἀγρυπνεῖν ὑπὲρ τῶν παρακεκλημένων ἐπὶ περιπάτοις, καὶ αὔριον κατὰ τὸ ἔμπαλιν καὶ ὀρθροποιοῦντες διαγογγύζωμεν. Σήμερον ἐστὶν ἄρτος; Ἀλλὰ μνησθῶμεν τοῦ Προφήτου λέγοντος· ὅτι σποδὸν, ὡσεὶ ἄρτον, ἔφαγον. Σήμερον ὁ οἶνος; Ἀλλὰ μνησθῶμεν, ὅτι ὁ πάντων ἡμῶν Δεσπότης καὶ Κύριος καὶ Σωτὴρ ὄξος μετὰ χολῆς ἐγεύσατο δι᾽ ἡμᾶς. Μὴ οὖν σήμερον ἐγκρατεύειν, καὶ αὔριον τοῖς περισσοῖς ἐκπληρώσωμεν χαίρειν ἡδονῆς γαστρός· ἵνα μὴ ἀκούσωμεν· ὧν ὁ Θεὸς, ἡ κοιλία, καὶ ἡ δόξα. Μὴ σήμερον ἡσυχίαν καὶ μελέτην, καὶ αὔριον ἀπὸ κελλίου εἰς κελλίον, ἵνα μὴ λέγω, ἀπὸ κώμης εἰς κώμην, καὶ ἐν πόλει διατρίβωμεν· μηδὲ ἐν προφάσει τοῦ παραβάλλειν γέρουσι, τὴν ἀκηδίαν πληροφορήσωμεν. Ὅσον γὰρ ἡσυχός τις ἐστὶ, τοσοῦτο οἱ λογισμοὶ αὐτοῦ καθαρεύουσι, καὶ ὅσον τις ἑαυτὸν μακρύνῃ τῆς ἡσυχίας, τοσοῦτο παχύνει ἐν αὐτῷ καὶ ἡ διάνοια. Ἐγχειρίζῃ τέχνην, καὶ αὕτη ἐστὶν εὐχρηστος τῷ κοινοβίῳ; Μὴ ἐπαίρου δι᾽ αὐτῆς. Εἰ γὰρ ἀνθρώπῳ ἐργάζῃ, καλῶς ἂν ἔλεγες. Εἰ δὲ Θεῷ, μὴ ἐπαίρου κατὰ τοῦ συνδούλου σου, ἀλλὰ καταπάλαιε τῷ Θεῷ. αὐτὸς γὰρ δίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Διὸ καὶ ταπεινώσωμεν τὰς ψυχὰς ἑαυτῶν ἐνώπιον Κυρίου, ἵνα ἡμᾶς ὑψώσῃ. Ὡς καθημέραν ἀρχὴν καταβαλλόμενοι, καθαρίσωμεν τῶν ἑαυτῶν λογισμῶν· οὕτω γὰρ καὶ δυνατώτεροι ἐσόμεθα. Μὴ οὖν συμπαρασχώμεθα ταῖς τῆς σαρκὸς ἡδοναῖς, μηδὲ τὸν ἐν ἀφοβίᾳ Θεοῦ διάξωμεν βίον· ἀλλὰ φύγωμεν ἐπιθυμίαν πᾶσαν νεωτερικὴν, μήποτε αὕτη ἐπιθυμία ἄξῃ ἡμᾶς εἰς τὴν ματαιοτέραν ἀναστροφὴν, καὶ τοῖς αὐτοῖς ἐπιτρέψωμεν κακοῖς, χεῖρον καταδικάσαντες ἑαυτοῖς τὸ κρίμα τῆς ὀργῆς. καὶ ἐκπεσούμεθα, παρομοιωθέντες τοῦ σηπτοῦ μέλους, καὶ ἐπὶ διαφθορᾷ τῶν λοιπῶν τοῦ σώματος μελῶν ἀποτεμνομένου. τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοι γένηται. Αὐτὸς δὲ ὁ Κύριος δῴη *ὑμῖν, δεῖξαι ἐπιστροφὴν, τοῦ ποιεῖν ἔργα ἄξια τῆς μετανοίας. ὅπως ἐστολισμένοι ἔνδυμα γάμου, ἀπαντήσωμεν αὐτῷ ἐν δόξῃ. ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ψαλμ. ΡΣ, θ.
Ματθ. ΚΖ, λδ.
Ψαλμ. ΞΘ, κα.
Φιλιππ. Γ, ιθ.
Ιακ. Δ, ι.
Ιωάν. Ε, ιδ.
ἄλλ. ἡμῖν.
Ματθ. ΚΣ, ι.

*ΠΕΡΙ ΑΦΟΒΙΑΣ ΘΕΟΥ ΚΑΙ ΑΜΕΛΕΙΑΣ.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΖ.

ἄλλ. περὶ τοῦ [illegible].

Αδελφός τις διηγήσατό μοι, λέγων· Θεῖον ἔχων χρυσοχόον, τὴν τέχνην καὶ ἀποταξάμενος τῷ βίῳ, ἐγένετο μοναχός. καὶ περὶ τὸ γῆρας αὐτοῦ, ἔρχεται πρὸς αὐτὸν *νομικός τις, Ἀλεξανδρεὺς τῷ γένει, *καιμαδᾶς τὴν τέχνην, θέλων γενέσθαι μοναχός. Δέχεται οὖν αὐτὸν ὁ γέρων ἐν τῷ μοναστηρίῳ αὐτοῦ· καὶ μετά τινα χρόνον ἐποίησε λαβεῖν ὁ γέρων τὸν ἀδελφὸν τὸ σχῆμα· καὶ οὐκέτι ὑπήκοος γέγονε τῷ γέροντι. Ἐδεδώκει δὲ αὐτῷ ὁ γέρων δύο κέλλας ἐν τῷ μοναστηρίῳ αὐτοῦ. Ἐποίησε δὲ ὁ ἀδελφὸς ἐν τῷ ἔργῳ αὐτοῦ, συνεχῶς καὶ ἡμέρας, ἀπαλλάσσων τὰ *καιμάδια, προσχωρήσας γὰρ ἐν τῷ τόπῳ, ὥστε μηδενὸς ἑτέρου φροντίζειν αὐτὸν, μήτε εὐχῆς, μήτε συνάξεως, ἀλλὰ τῷ ἔργῳ ὑπὸ τῆς φιλαργυρίας κατεχόμενος. Ὁ οὖν ἅγιος γέρων ἐνουθέτει τὸν ἀδελφὸν,

ἴσως, κοσμικός.
ἄλλως, ταβιδᾶς.
[ὅς ἐστι, καβιδάριος. τουτέστι, λιθουργός. λέγεται δὲ καὶ καβιδάριος. λέξις ῥωμαϊκή.]
ἄλλ. καβίδια.

ἴσ. ποιήσωμεν. λέγων· ἀδελφὲ Παλλάδιε, δεῦρο, * ποιήσωμεν τὸ κανόνιον. Ὁ δὲ πρὸς αὐτόν· ὕπαγε, καὶ ἔρχομαι· καὶ οὐκ ἐπορεύετο, ἀλλ' ἠμέλει. Πάλιν ἔλεγεν αὐτῷ ὁ γέρων· ἀδελφὲ Παλλάδιε, δεῦρο, βάλλωμεν τὴν σύναξιν. Ὁ δὲ πάλιν ἀπεκρίνατο· ὕπαγε, καὶ ἔρχομαι· καὶ οὐκ * ἀπῄει, ἀλλὰ κατεφρόνει. Εἶχε δὲ μεθ' ἑαυτοῦ (ἀλλ. ἐποίει.) ὁ γέρων τρεῖς ἀδελφούς· τοὺς μὲν δύο τυφλούς, ὁ δὲ ἕτερος ἀφελὴς ὑπῆρχεν. Ὅταν οὖν ἐποίει ὁ γέρων μικρὸν ἕψημα, φέρων ἑαυτῷ ὁ Παλλάδιος ἐσθίειν ἤσθιε σὺν αὐτοῖς, καὶ οὕτως πάλιν ἐπορεύετο εἰς τὸ ἔργον αὐτοῦ. Ὁ οὖν ἅγιος γέρων παρεκάλει τὸν ἀδελφόν, νουθετῶν μὴ καταφρονεῖν τῆς ἑαυτοῦ σωτηρίας. Ὁ δὲ οὐκ ἐπείθετο τῇ ἀγαθῇ νουθεσίᾳ τοῦ ἁγίου γέροντος, ἀλλὰ καταλιπὼν αὐτὸν ἐξῆλθεν οἰκῆσαι κατὰ μόνας, ἐν ἀφοβίᾳ Θεοῦ τυγχάνων. Οὕτω δὲ ἀμελῶν τῆς ἑαυτοῦ ζωῆς, καὶ μηδὲ ἐν ὑποταγῇ ἀνεχόμενος εἶναι, μηδὲ κατὰ μόνας οἰκῶν φροντίζειν τῆς ἑαυτοῦ σωτηρίας, ἀλλ' εἰς τέλος μακρυνθείσης αὐτοῦ τῆς ἐλπίδος τῆς τοῦ Θεοῦ βοηθείας, καὶ τῆς προσδοκίας τῶν ἀγαθῶν, ἔχαιρεν καταπικρανθεὶς ὑπὸ Δαίμονος, τὰς φρένας ἀπώλεσε. Μὴ δυνηθεὶς ἔτι χεῖρας ἐπενεγκεῖν εἰς τὸ στόμα, ἀλλ' ὑφ' ἑτέρων ψωμίζεσθαι, ὡς τὰ νήπια· οὐδὲ ἄνθρωπον ἔτι ἐπεγίνωσκε· καὶ ἤσθιε ῥῖς αὐτοῦ καὶ τὰ σίελα κατέῤῥεον ἐπὶ τοῦ πώγωνος. Ὡς δὲ ἔμαθον αἱ τούτου ἀδελφαὶ τὸ συμβὰν αὐτῷ, προσελάβοντο αὐτὸν πρὸς ἑαυτάς· ἦσαν γὰρ παρθενεύουσαι· καὶ τοῦτον λαβοῦσαι ἐπέκλεισαν ἐν τῇ * συνάξει τοῦ μοναστηρίου, καὶ ἦν σύρων ἑαυτὸν ἐπὶ τὸ καθισμάτιον ἑαυτοῦ ἐν ὅλῃ τῇ συνάξει. Καὶ ἐν τῷ ἐλθεῖν τὸν πρεσβύτερον συνάξαι αὐτάς, παρεκάλουν αὐτὸν ποιῆσαι εὐχὴν ὑπὲρ αὐτοῦ, ὅπως ποιήσῃ μετ' αὐτοῦ ὁ * Κύριος ἔλεος. Καὶ μείνας ἐν αὐτῇ τῇ παιδείᾳ χρόνους, ἐν τούτοις * τελευτᾷ. Ἰδοὺ, τί παρασκευάζει ἡ ἀφοβία; Ἰδοὺ, τί παρέχει ἡ ἀνυποταγὴ καὶ ἡ ἀμέλεια; Ἰδοὺ, πῶς κατέλυσε τὸ τέλος τῆς παρακοῆς; Μὴ οὖν καταφρονήσωμεν τὸν φόβον τοῦ Κυρίου, ἀλλὰ ταπεινωθῶμεν ὑπὸ τὴν κραταιὰν χεῖρα αὐτοῦ, δουλεύοντες ἀλλήλοις ἐν φόβῳ Θεοῦ· καὶ αὐτὸς ἔσται ἡμῖν τεῖχος καὶ σκέπη ἀπὸ προσώπου Ἐχθροῦ. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

[τυτέστι, οἴκῳ συνάξεων.]

ἄλλως, Θεός.

ἴσως, τελευτᾷ.

α Πέτρ. Ε, ς.

Ψαλμ. Λδ, ζ.

ΤΩ ΕΧΟΝΤΙ ΔΟΘΗΣΕΤΑΙ, ΚΑΙ ΠΕΡΙΣΣΕΥΘΗΣΕΤΑΙ.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΗ.

Ματθ. Ιγ, ιβ. Κε, κθ. Ρωμ. Θ, ιδ.

ΓΕΓΡΑΠΤΑΙ γάρ, τῷ ἔχοντι δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο. Ἄκουε παραβολὴν περὶ τούτου. Οἰκοδεσπότης ἦν ἐν χώρᾳ τινί, καὶ εἶχε δύο δούλους, καὶ τρία ζεύγη βοῶν· καὶ ἔδωκε, τῷ μὲν δύο ζεύγη βοῶν, τῷ δὲ τὸ ἕν· καὶ εἶπε πρὸς αὐτούς· πορευθέντες ἐργάσασθε, ἕως ἔλθω πρὸς ὑμᾶς. Καὶ πορευθεὶς ὁ τὰ δύο ζεύγη εἰληφώς, εἰργάσατο ἐν τοῖς βουσί, καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα, καὶ τοὺς βόας ἔθρεψε θαυμαστῶς. Ὁ δὲ τὸ ἓν λαβὼν πορευθεὶς ἔδησε τοὺς βόας ἐν τῇ φάτνῃ, μηδὲν παντελῶς παραβαλὼν αὐτοῖς· καὶ ἀνακλίνας ἑαυτὸν ἐκοιμᾶτο. Εἶτα ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, θεάσασθαι αὐτῶν τὰ ἔργα· καὶ ἰδὼν τὴν ἐργασίαν, καὶ τὰ κέρδη τοῦ τὰ δύο ζεύγη εἰληφότος, εὐλόγησεν αὐτόν. Μετὰ ταῦτα παραγίνεται καὶ πρὸς τὸν ἕτερον δοῦλον, καὶ εὑρίσκει αὐτὸν καθεύδοντα· τοὺς δὲ

βόας δεδεμένας ἐν τῇ φάτνῃ, καὶ ἐκλείποντας τῷ [illegible]. Καὶ θεασά-
μενος ὁ κύριος αὐτοῦ [illegible] τὸ δοῦλον ἠργασμένον, [illegible] βόας ἐκλεί-
ποντας, εἶπεν ἐν ἑαυτῷ· [illegible] βόας μου τῷ [illegible] δούλῳ [illegible] ἀπο-
λέσει αὐτάς· ἀφελῶ [illegible] βόας με [illegible] αὐτοῦ, καὶ δώσω τῷ ἠργασμένῳ κα-
E. λῶς, καὶ ἐπιμελῶς [illegible] ἔργον αὐτοῦ. Τῷ γὰρ ἔχοντι, παντὶ δοθήσεται, καὶ περισσευ- Ματθ. Ιγ, ιϐ. Κε, κθ.
θήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. Καὶ πά-
λιν ὁ κύριος· Ἐγὼ μὲν ἀγαθὸς ὢν, ἐκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐτῷ, ἵνα ἐρ-
γασάμενος τὸ ἀγαθὸν, κτήσηται τὴν ζωὴν τὴν αἰώνιον. αὐτὸς δὲ [illegible] με, καὶ
αὐτὸς ἀτιμασθήσεται. *Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε· [illegible] ἄλλ. ὅτι ἄνθρ.
I. τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. καὶ [illegible], καὶ Ψαλμ. Μθ, κ. Ρθ, ϛ.
μακρυνθήσεται ἀπ' αὐτοῦ. καὶ [illegible] ἀγαθῦναι, Ψαλμ. Λϛ, γ, δ.
διότι ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, [illegible] πάσῃ [illegible] ἀγαθῇ,
κακίᾳ δὲ οὐ προσώχθισε. Μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. Διὸ, ἀδελ- Ρωμ. Θ, ιδ.
φοὶ, σπουδάσωμεν [illegible] ἐνώπιον αὐτοῦ σὺν πᾶσι τοῖς ἁγίοις αὐτοῦ. Ὅτι
IE. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΑΡΑΙΝΕΣΙΣ ΚΘ.

Ἀδελφοὶ, ἐάν τις τῶν [illegible] ἀδελφῶν ἔσω ἐν τῇ συνάξει,
ἢ [illegible], σκοτώσας αὐτῷ γενόμενος, ἀφνω πέσῃ χαμαὶ, οὐ δεῖ θαυ-
K. μάζειν ἐπὶ τούτῳ, οὐδὲ [illegible], δεῖ δὲ μᾶλλον τὸν Θεὸν ἱκετεύειν ἐξ
ὅλης διανοίας, ὅπως σκεπάσῃ ἡμᾶς [illegible] πάντας. Ἐὰν γὰρ δουλεύσωμεν αὐτῷ
ἐν ἀληθινῇ καρδίᾳ, οὐ μὴ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ δύναμιν, ἀλλὰ καὶ α Κορινθ. Ι, ιγ.
πειρασθέντας ῥύσεται. Οὕτως γὰρ γέγραπται ἐν τῷ ψαλμῷ· Τὸν Ὕψιστον ἔθου Ψαλμ. Ϟα, θ, ι, ια, ιϐ, ιγ, ιδ, ιε, ιϛ.
καταφυγήν σου· οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ
KE. σκηνώματί σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι
σε ἐν πάσαις ταῖς ὁδοῖς σου. καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς
λίθον τὸν πόδα σου. ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα
καὶ δράκοντα. ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω
τὸ ὄνομά μου. *κεκράξεται πρός με, καὶ εἰσακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἄλλ. κράξεται.
Λ. ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν. μακρότητα ἡμερῶν ἐμπλήσω
αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Καὶ πάλιν· Οἱ πεποιθότες ἐπὶ Κύριον, Ψαλμ. Ρκε, α.
ὡς ὄρος Σιὼν, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Καὶ πά- Ψαλμ. Λϛ, κε.
λιν· νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμ-
μένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Ἡ μὲν οὖν σύμπτωσις [illegible] ἀνα-
ΛΕ. ζέσεως [illegible] χολῆς καὶ τοῦ [illegible], καὶ ἐκ τῆς [illegible]
ἀσθενείας καὶ ἀτονίας. Ἔστι δὲ ὅτε καὶ ὁ Διάβολος [illegible] τινὰ, ὅταν
μὴ ἰσχύσῃ ἢ πειράζειν ἢ *λόγον [illegible] τὸν ἀδελφὸν, ἵνα [illegible] ταύτης τῆς ἄλλων, ἀδελφ.
μηχανῆς καταισχύνῃ αὐτὸν [illegible]. Ἀλλ' ὁ Κύριος οὐκ ἐάσει α Κορινθ. Ι, ιγ.
αὐτὸν πειρασθῆναι ὑπὲρ δύναμιν, ἀλλὰ [illegible] αὐτοῦ τὴν καρδίαν.
M. Ἀλλά γε καὶ τοῦτο [illegible], ἐπιφέρεται τῷ ἀδελφῷ· ἀλλ'
ὅταν ῥεμβασμὸς [illegible] αὐτοῦ ὁ λογισμός. Ἕτερος δὲ [illegible]
ρὸς παραδίδοται τοῦ Ἐχθροῦ τοῦ Θεοῦ συγχωρήσει, [illegible]

ἑαυτὸν τοῖς ἀπειλοῖς λογισμοῖς τοῦ Ἐχθροῦ καί φησιν· ἰδοὺ γέγονας δυνατὸς
παρὰ πάντας ἀνθρώπους, καὶ οὐκ ἔστιν ὅμοιός σοι τῶν ἐπὶ γῆς, καὶ ἔτι πολὺ
ὑψηλότερος, μᾶλλον δὲ χαλεπώτερος. ἅμα δὲ καὶ ἐπιγράφων ἑαυτῷ τὰ κατ-
ορθώματα, καὶ οὐχὶ τῷ Θεῷ προσφέρων τὴν τιμὴν ὡς ὑπ' αὐτοῦ βοηθείς. Οὕτως
οὖν παραδίδοται εἰς χεῖρας τοῦ πειράζοντος, ἵνα παιδευόμενος ἐπιγνῷ τὴν E.
Λουκ. Ιζ, ι. ἀσθένειαν αὐτοῦ, καὶ μὴ ἐπιλανθάνηται τῆς βοηθείας τοῦ εἰπόντος· ὅταν πάντα
Ματθ. Κγ, ιβ. ποιήσητε, λέγετε, ἀχρεῖοι δοῦλοί ἐσμεν. Ὁ γὰρ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται.
Λουκ. Ιδ, ια. Ιη, ιδ. Ἀδύνατον γάρ ἐστι, τοὺς φοβουμένους τὸν Κύριον ἐν ἀληθείᾳ καταπονεῖσθαι
ὑπὸ τοῦ Διαβόλου. ὁ μὲν οὖν Διάβολος ἐπιχειρεῖ τοῦ σαλεύειν, ἀλλ' ἐκριζῶσαι
Ἰώβ, Α, ιβ. οὐκ ἰσχύει. Καθάπερ ἐγένετο καὶ ἐπὶ τοῦ Ἰώβ· παρεδόθη μὲν εἰς χεῖρας τοῦ πειρά- I.
ζοντος, ἀλλ' οὐκ ἐτόλμησεν αὐτοῦ ἐφάψασθαι διὰ τὴν τοῦ Θεοῦ ἐπισκοπήν· καίτοι
λαβὼν ἐξουσίαν παρὰ τοῦ Θεοῦ χρήσασθαι αὐτῷ, καθὼς ἂν βουληθῇ, δίχα τῆς ψυ-
Ἰώβ, Β, ι. χῆς τοῦ δικαίου. ἐνίκησε γὰρ ὁ δίκαιος τὸν Ἀντίπαλον, μόνῳ τῷ πόθῳ, ᾧ εἶχε
β Κορινθ. Ιβ, ζ. πρὸς τὸν Θεὸν ἐν ἀληθείᾳ. Ἐδόθη δὲ καὶ τῷ Ἀποστόλῳ σκόλοψ, ἄγγελος Σα-
τᾶν. ἀλλ' ὑπερενίκησε διὰ τῆς ἀγάπης τῆς πρὸς τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἣν εἶχεν IE.
ἐν τῇ ψυχῇ ἐν τελείᾳ ἀγάπῃ. Οὐδὲ γὰρ τὸ ἀσθενῆσαι ἔτι κατὰ σάρκα, ἥττημα·
ἀλλὰ τὸ ἐν τοῖς πειρασμοῖς εὑρεθῆναι, ἀδόκιμον. Ὁρῶμεν γὰρ ὅτι οὐδὲ κατὰ
Μάρκ. Ε, ιβ, χοίρων ἔχει τὴν ἐξουσίαν ὁ Ἐχθρὸς, δίχα τῆς τοῦ Θεοῦ συγχωρήσεως. Ἐγὼ ἐθεασά-
μην ἄλλον ἐπὶ ξύλου ἑστῶτα ἕνεκεν δίψης· ἄρα γε εἰ εἶχεν ἐξουσίαν ἐλθεῖν ὡς
ἐβούλετο, οὐ παραυτίκα κατέσπασεν αὐτὸν σὺν τῷ κίονι; Ὅθεν γνῶμεν, ὅτι τέθλα- K.
σται αὐτοῦ ἡ ἰσχὺς διὰ τῆς δυνάμεως τοῦ τιμίου σταυροῦ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ. Μὴ οὖν φοβοῦ, δοῦλε Χριστοῦ, μηδὲ ταρασσέτωσάν σε οἱ λογισμοί σου,
μηδὲ ἀπόστῃς τοῦ τόπου, ἔνθα προσκόπτεις ἐν Κυρίῳ. Πιστεύομεν γὰρ τῷ εἰρηκότι
Ματθ. Ι, λ. ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. Καὶ, Ἰδοὺ, δέ-
Λουκ. Ιβ, ζ. Ι, ιθ. δωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν KE.
Ψαλμ. Ξδ, ζ, η. δύναμιν τοῦ Ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. βέλη γὰρ νηπίων, ἐγενήθη-
σαν αἱ πληγαὶ αὐτῶν· καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ὅθεν
οὖν περιπέσῃς ἐν ποικίλαις θλίψεσι, μὴ ῥαθύμει, τοῦ Προφήτου λέγοντος· Κύ-
Ψαλμ. Λδ, ιθ. ριε, ἐν θλίψει ἐμνήσθημέν σου. Καὶ, πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ
Σοφ Σειρ. Β, ι, ια. πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. Ὅθεν καὶ ἐν ἑτέρῳ λέγει· ἐμβλέψατε Λ.
εἰς τὰς ἀρχαίας γενεὰς, καὶ ἴδετε, τίς ἐπίστευσε τῷ Κυρίῳ καὶ κατῃσχύνθη; ἢ τίς
ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖ-
δεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, καὶ ἀφίησιν ἁμαρτίας, καὶ
Ψαλμ. Ξα, γ. σώζει ἐν καιρῷ θλίψεως. Ὁ οὖν φόβος τοῦ Θεοῦ, πύργος ἐστὶν ἰσχύος ἀπὸ προσώ-
που ἐχθροῦ. Μὴ οὖν καταλείπῃς τὸν πόλεμον, καὶ οὐ μὴ ἀλγήσῃς. Ἀλλὰ πρόσεχε ΛE.
τῷ φιλανθρώπῳ, σὺν τῷ Προφήτῃ, βοῶν πρὸς τὴν ἀγαθότητα αὐτοῦ· Ἐπὶ σοὶ,
Ψαλμ. Λα, α, β, γ, δ, ε. Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί
με, καὶ ἐξελοῦ με. κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με· γενοῦ μοι
εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. ὅτι κραταίωμά
μου καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέ- M.
ψεις με. ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπι-
στής μου, Κύριε. εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἐλύτρωσω με,

Κύριε ὁ Θεὸς τῆς ἀληθείας. Οὗτος δὲ αὐτὸς εἶπε πρὸς ἡμᾶς, τὸ γεγραμμένον· ὅπως ἐγὼ ἔσομαι μετὰ σοῦ, καὶ οὐκ ἐγκαταλείψω σε, οὐδὲ ὑπερόψομαί σε. Ἴσχυε δὲ καὶ ἀνδρίζου. [Ἰησ. Α, ε, ς.] Καὶ πάλιν * λέγει· Μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, μηδὲ δειλιάσῃς ἐνώπιον αὐτῶν, ὅτι μετὰ σοῦ εἰμι, λέγει Κύριος, τοῦ ἐξαιρεῖσθαί σε. [* ἄλλ. λέγει ὁ Κύριος.] [Ἱερεμ. Α, ιζ.] Εὐχαριστῶν ἐν τῇ φιλανθρωπίᾳ αὐτοῦ, προσευξώμεθα αὐτῷ λέγοντες· Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. [Ψαλ. Ριζ, ιγ, ιδ.] Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΤΗΣ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ

ΠΑΡΑΙΝΕΣΙΣ Λ.

Ἀγαπητὲ ἀδελφέ, ἐὰν τύχῃς προκοπῆς ὥστε σε εἶναι ἐν τῷ ἄνω βαθμῷ, μὴ ἐπιλαθέσθῃς τῆς ταπεινοφροσύνης· [— γὰρ ἀληθῆ — λίαν.] ἵνα ἐάν ποτε συμβῇ σοι καταβῆναι τοῦ βαθμοῦ, ἀφεῖς τὸ ὕψος, καὶ μὴ πάσῃς πτῶμα ἐξαίσιον. [ἄλλως, κακῶς.] Τοῦτο γὰρ συμβαίνει πᾶσιν ἐκ τῆς ἰδίας ἀγνωμοσύνης, ἐν τῷ μὴ συνιέναι τὴν δωρηθεῖσαν [ἄλλως, μόνον.] αὐτοῖς χάριν. Εἰ γὰρ ἐπεγνώκασι * τὸν εὐεργέτην, οὐκ ἂν παρήκουσαν τῶν [* ἄλλ. τὴν εὐεργεσίαν] προσταγμάτων αὐτοῦ· καὶ εἰ μὴ παρήκουσαν, οὐκ ἂν παρέπεσον. Καθὼς γέγραπται· Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. [Ματθ. Κγ, ιβ. Λουκ. Ιδ, ια. Ιη, ιδ.] Διὸ καὶ ἐν τῷ Ψαλμῷ λέγει· Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. [Ψαλμ. Λζ, λε, λς, λζ.] Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκαταλείμματα ἀνθρώπῳ εἰρηνικῷ. Καὶ πάλιν λέγει· Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. [α Πέτρ. Ε, ε.] Διὸ καὶ ὁ Ἀπόστολος παραγγέλλει λέγων· Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. [Ρωμ. ΙΒ, ις.] Καὶ ἐν ἑτέρῳ λέγει· Μὴ ὑψώσῃς σεαυτόν, ἵνα μὴ πέσῃς καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν· [Σοφ. Σειρ. Α, λ.] καὶ ἀποκαλύψει * Κύριος τὰ κρυπτά σου, καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε, ὅτι οὐ προσῆλθες φόβῳ Κυρίου, καὶ ἡ καρδία σου πλήρης δόλου. [* ἄλλως, Θεός.] Διό, ἀδελφοί, σπουδάσωμεν ταπεινῶσαι τὰς ἑαυτῶν ψυχὰς ἐνώπιον Κυρίου, [α Πέτρ. Ε, ς.] ὅπως ὑψώσῃ ἡμᾶς ἐν καιρῷ ἐπισκοπῆς. Αὐτὸς γάρ ἐστιν ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. [Ψαλμ. Ριγ, ζ.] Ὡς τις γὰρ ὁ βουλόμενος ἑαυτὸν ταπεινῶσαι δι' εὐσέβειαν ἑκουσίως, ἀληθῶς τεταπείνωται. Διότι καὶ ἐν τῷ δικαίῳ Ἰὼβ γέγραπται περὶ αὐτοῦ, καθὼς καὶ ἡμεῖς αὐτοὶ ἐπιστάμεθα καὶ συνίεμεν· [Ἰώβ, ΙΒ, ιε, ιζ, ιη, ιθ, κ, κα.] Διάγων βουλευτὰς αἰχμαλώτους, κριτὰς δὲ γῆς ἐξέστησε· καθίζων βασιλεῖς ἐπὶ θρόνων, καὶ * περιέζωσε ζώνῃ ὀσφύας αὐτῶν· [* ἴσ. ἀπέλυσε.] ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτους, δυνάστας δὲ γῆς κατέστρεψε· διαλλάσσων χείλη πιστῶν, σύνεσιν δὲ πρεσβυτέρων ἔγνω· ἐκχέων ἀτιμίαν ἐπ' ἄρχοντας, ταπεινοὺς δὲ ἰάσατο. Ἀγαπήσωμεν οὖν τὴν ταπεινοφροσύνην, ἀγαπητοί· ὅτι αὐτὸς εἴρηκεν· Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ [Ματθ. Ια, κθ.] εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. Ναὶ ἀγαπημένε· Ναὶ δεδοξασμένε· Ναὶ ἐλεῆμον· Ναὶ φιλάνθρωπε, ἀγαθέ. Σφόδρα ὁ ζυγός σου χρηστός, καὶ τὸ φορτίον σου ἐλαφρόν ἐστιν, ἀλλὰ πᾶσι τοῖς προσερχομένοις δουλεύειν σοι ἐν ἀληθινῇ καρδίᾳ· ὅτι σοὶ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΤΙ ΔΕΙ ΤΟΝ ΧΡΙΣΤΙΑΝΟΝ ΜΑΚΡΟΘΥΜΟΝ ΚΑΙ ΑΜΝΗΣΙΚΑΚΟΝ ΕΙΝΑΙ.

ΠΑΡΑΙΝΕΣΙΣ ΛΑ.

ΕΑΝ συμβῇ πυρία, οὐ χαλεπὸν μέντοι σβεσθῆναι. Χαλεπὸν δὲ καὶ δεινὸν
τὸ ἐμμένειν τῇ πυρίᾳ. Ἀδελφέ, ἐὰν ἀπόντος σου, συμβῇ σοι λοιδορηθῆναι
ὑπό τινος, καὶ ἐλθὼν ἕτερος ἀπαγγείλῃ σοι, ὅτι ὁ δεῖνα ἀδελφὸς ἐλοιδόρησέ σε,
σὺ ὡς σοφὸς ἐπίγνωθι, τίνος ἡ ὑποβολή, καὶ μὴ πικρανθῇς κατὰ τοῦ ἀδελφοῦ σου.
Εἰπὲ δὲ καὶ τῷ μηνύσαντι οὕτως· εἰ καὶ ὕβρισέ με, ἀλλ' ἀδελφός μου τυγχάνει,
καὶ γὰρ ἄξιός εἰμι ὕβρεως. πλὴν οὐκ ἀπ' αὐτοῦ με ὕβρισεν, ἀλλὰ τοῦτο ὁ
Ἐχθρὸς παρεσκεύασεν, ὅπως ἔχθραν βάλλῃ μεταξὺ ἡμῶν. Ὁ δὲ Κύριος
γράφ. ἐλεήσῃ — — λείπει. καταργήσει τὸν Πονηρόν· τὸν δὲ ἀδελφὸν* ἐλεήσει, καὶ ἡμᾶς μὴ* ἐγκαταλείπῃ.
Ἐὰν πάλιν καὶ εἰς πρόσωπον ὑβρισθῇς, μὴ χαλεπήνῃς ἐπὶ τοῦτο, μηδὲ ταχέως
ἄλλως, καλοῦ. κατὰ τὴν διάνοιαν. Ἐὰν δὲ περὶ* κακοῦ συμβῇ ὑβρισθῆναι, μὴ γινώμεθα
ἄλλως, μόνον. σκληροκάρδιοι, ἀλλὰ* μᾶλλον διορθώσωμεν τὸ πταῖσμα. Εἰ δὲ κατ' ὑποβο-
λὴν τοῦ Ἐχθροῦ, συμβῇ τοῦτο, σὺ ὡς ἐπιστάμενος τὸ ἔργον, μὴ χαλεπαίνῃς κατὰ
τοῦ ἀδελφοῦ σου. Ἐὰν γὰρ ὑβρισθεὶς ἀνθυβρίσῃς, διπλῶς ἑαυτὸν ὕβρισας· πρῶτον
μέν, ὅτι ὑβρισθείς, οὐκ ἤνεγκας μακροθύμως· δεύτερον δέ, ὅτι ἀναιδῶς χρησά-
μενος ἀντελοιδόρησας. Ὅταν οὖν συμβῇ σοι λοιδορηθῆναι ὑπό τινος, μὴ θερ-
μαίνου εἰς ὀργήν· ἀλλ' εὐθέως μειδιάσας τὰ χείλη ἐν σεμνῷ γέλωτι ἐν σεαυ-
τῷ, μετάβαλλε τὸν θυμόν σου εἰς εἰρήνην. Ἀλλ' ἔστι καὶ γέλως ἀνάπτων θυμὸν
Παροιμ. Ι, κγ. τοῦ ἑτέρου· ἄφρων, γάρ, φησίν, ἐν γέλωτι πράσσει κακά. Οὐ περὶ ἐκείνου δὲ
φημι, ἀδελφοί· ἀλλ' ἵνα, ὡς καλὸς καὶ δόκιμος ἰατρός, συγκεράσῃς τὸ φάρ-
μακον τῆς ἀγάπης, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. πῦρ γὰρ πῦρ οὐ σβέννυσιν. Ὅτι οὐ
δεῖ γελᾶν, ἀλλὰ διὰ τῆς ἀγάπης καὶ σεμνότητος καὶ τῆς μακροθυμίας καταργῇς
γράφ. ὁρμήν. Ἰάκ. Α. κ. θυμικοῦ Δαίμονος τὴν* ὀργήν. Γέγραπται γάρ· ὀργὴ ἀνδρὸς, δικαιοσύνην
Σειράχ, Α, κϐ. Θεοῦ οὐ κατεργάζεται. Καὶ ἐν ἑτέρῳ λέγει· ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πτῶσις
αὐτῷ. Εἰ δὲ καὶ ὁ ἀδελφός σου οὐκ οἰκοδομεῖται, ἐν τῷ σε μειδιᾶν, τοῦ μὴ
καταπυρωθῆναι ὑπὸ τοῦ θυμοῦ, παντοίῳ τρόπῳ σπουδάσωμεν θεραπεῦσαι τὸν
ἀδελφόν. Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ εἰπόντος· ἐὰν προσφέρῃς τὸ δῶ-
Ματθ. Ε, κγ, κδ. ρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ἔχει τι ὁ ἀδελφός σου κατὰ σοῦ,
ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι
τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Καὶ διὰ τοῦ Ἀπο-
Ἑβρ. ΙϬ, ιδ. Ῥωμ. ΙϬ, ιη. στόλου παραγγέλλει, λέγων· εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ
χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Καὶ μὴ διδάξῃ σε ὁ Πονηρὸς λέγειν· οὐ λυ-
ποῦμαι ὑβρισθῆναι, ἀλλ' ὅτι ὕβρισέ με παρρησίᾳ τῶν ἀδελφῶν. Τοῦτο σε ταράσσει
ἀλλ. Κυρίου Ἰησοῦ Χριστοῦ. δοῦλε* Κυρίου; ποῦ οὖν ἀπέλιπες τὸ ὅπλον σου, στρατιῶτα Χριστοῦ; φημὶ δὲ
Φιλιππ. Β, η. περὶ τοῦ σταυροῦ· σταυρὸς δέ ἐστι ταπείνωσις· καθὼς γέγραπται· ἐταπείνωσεν ἑαυ-
τόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Θέλεις, ὑποδείξω
σοι, ἀδελφέ, ὅτι ὀφείλομεν εὐχαρίστως ὑπομένειν πᾶν, ὃ ἐὰν ἐπέλθῃ ἡμῖν
ὑπὲρ Χριστοῦ; Χριστὸς ἐστὶν ἡ ζωὴ ἡμῶν, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν. Ὁ οὖν
πάσχων ὑπὲρ Χριστοῦ, ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας καὶ ζωῆς πάσχει. Δείξω σοι δὲ
ἐκ τῶν ὁμοιοπαθῶν ἡμῖν ἀνθρώπων, ὅτι διὰ τῆς ταπεινοφροσύνης Θεῷ εὐηρέστη-

σαν. Ἀγω δέ σοι [illegible] ὅτι τῷ κατὰ σάρκα [illegible] ὑποδείγματα [illegible]
διελυσόμεθα [illegible] τῆς θυμομαχίας. Ὑβρίστης ἐστὶ [illegible]. Ἐάν
σωμεν δὲ τὴν κατὰ σάρκα [illegible], καὶ ἔλθωμεν ἐπὶ τὴν θυμομαχίαν. Ὅτε
ἀπεδίδρασκε Δαβὶδ ἀπὸ προσώπου Ἀβεσσαλὼμ [illegible]
Ε. Σεμεεὶ ἐλοιδόρει τὸν βασιλέα Δαβὶδ ἐνώπιον πάντων [illegible]. β Βασ. ις, ζ, ἢ θ, ι, ια, ιβ.
Μὴ καταμόνας ἐλοιδόρει τὸν βασιλέα; ἵνα εἴπῃ τις ὅτι [illegible]
τὴν ὕβριν μακροθύμως. Ἀλλ' οὐ μόνον ἐλοιδόρει, ἀλλὰ καὶ [illegible] καὶ ἐλί-
θαζε τὸν βασιλέα ὥστε [illegible] τὴν γυναῖκα φίλον τοῦ βασιλέως. Ἵνα τί
καταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος τὸν κύριόν μου τὸν βασιλέα; διαβήσομαι καὶ
Ι. ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ. Ὁ δὲ βασιλεὺς εἶπε πρὸς αὐτόν· τί ἐμοὶ καὶ ὑμῖν
υἱοὶ Σαρουίας; ἄφετε αὐτὸν οὕτως καταρᾶσθαί με, ὅτι Κύριος εἶπεν αὐτῷ
καταρᾶσθαι τὸν Δαβίδ. καὶ τίς ἐρεῖ αὐτῷ, τί ὅτι ἐποίησας οὕτως; Καὶ πάλιν
εἶπεν· εἴπως ἴδοι Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀντιστρέψει μοι ἀγαθὰ ἀντὶ
τῆς κατάρας αὐτοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ. Ὁρᾶτε, ἀγαπητέ, ὅτι ἐν ταπεινοφροσύνῃ
ΙΕ. ἐδούλευσαν οἱ δίκαιοι τῷ Κυρίῳ. καὶ εἰ βασιλεὺς καὶ προφήτης ὑπάρχων το-
σαύτην ἐνεδείξατο σπουδὴν * καὶ ταπεινοφροσύνην, ποταποὺς δεῖ ὑπάρχειν ἡμᾶς ἄλλ. ἡ — σύνας.
[illegible] καὶ ἁμαρτωλούς; Ἀναλογίσαι ἅμα καὶ αὐτοῦ τοῦ Δαβὶδ πρὸς Σαοὺλ
ἀμνησικακίαν. Καὶ ἡμεῖς οὖν, ἀδελφοί, μακροθυμήσωμεν, ἀλλήλων τὰ Γαλατ. ς, β.
βάρη βαστάζοντες. Τίς γάρ ἐστι στρατιώτης, ὁ θεωρήσας τὸν συστρατιώτην αὐτοῦ
Κ. συλληφθέντα ὑπὸ τῶν * ὑπεναντίων, καὶ οὐκ ἀγωνίζεται καὶ πολεμεῖ τοὺς ὑπεν- ἄλλ. βαρβάρων;
αντίους, ἐξελέσθαι τὸν συστρατιώτην αὐτοῦ ἐκ χειρὸς τῶν αἰχμαλωτευσάντων αὐ-
τόν. ὅταν δὲ μὴ δυνηθῇ ἐξελέσθαι αὐτὸν, τότε κλαίει καὶ κόπτεται [illegible]
[illegible] τοῦ ἑταίρου. Οὐ πολλῷ μᾶλλον ὀφείλεται ἐσμὲν ἡμεῖς ὑπὲρ ἀλλήλων
θεῖναι τὰς ἑαυτῶν ψυχάς; Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος·
ΚΕ. μείζων ταύτης οὐκ ἔστιν ἀγάπη, ἵνα τις θῇ τὴν ψυχὴν ὑπὲρ τῶν φίλων αὐτοῦ.
Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΕΡΙ ΠΑΘΩΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΛΒ.

Λ. ΑΝΗΡ ὁ ἐν ἀμελείᾳ διάγων τὰς ἡμέρας αὐτοῦ, [illegible]
τελέως ἐστὶ * [illegible] αὐτοῦ περὶ τῶν ἀγαθῶν, ὧν ἡτοίμασεν ὁ Κύριος ἄλλ. [illegible]
τοῖς δικαίοις, μηδὲ τῆς κολάσεως τῆς ἡτοιμασμένης τοῖς ἁμαρτωλοῖς. [illegible]
βως ἑαυτὸν [illegible]. Ἐν τῷ [illegible] ὁ Πονηρὸς [illegible]
μίαν σαρκικήν. [illegible] δύναται νοῆσαι ὁ [illegible]
ΛΕ. τῶν εἰσπορευομένων καὶ ἐκπορευομένων δι' αὐτῆς. [illegible]
εἰς τὴν διάνοιαν αὐτοῦ, κατεκάλυψεν αὐτοῦ τοὺς ὀφθαλμούς. [illegible]
διαφόρως πολεμεῖ ὁ Ἐχθρός· καὶ πρὸ μὲν τοῦ συντελεσθῆναι [illegible],
[illegible] κρύνει αὐτὴν ὁ Ἐχθρὸς ἐν ὀφθαλμοῖς αὐτῶν [illegible]
θυμίαν τῆς ἡδονῆς. τοσοῦτο σμικρύνει αὐτὴν, [illegible]
Μ. χροῦ εἰς τὸ ἔδαφος. [illegible] αὐτὸν· [illegible] ὁ Πονηρὸς τὴν ἁμαρτίαν
ἐν ὀφθαλμοῖς τοῦ ἀδελφοῦ, πρὸ τοῦ συντελεσθῆναι αὐτήν. Μετὰ δὲ τὸ συν-
τελεσθῆναι αὐτήν, τοσοῦτο ὑψοῖ ὁ Πονηρὸς τὸ [illegible] εἰς [illegible]

ἐν αὐτῇ ἕως σφόδρα. Ἔτι ἐγείρων κατ' αὐτοῦ λήμματα λογισμῶν, πολλάκις δὲ καὶ διὰ παρεμβολῶν παρεστάναι κατ' αὐτοῦ, τοιαῦτα ὑποβάλλει αὐτῷ, καί φησι. Τί ἐποίησας, κενοκόπε; νῦν γίνωσκε σου τὴν ἀσωτίαν σε ἡ ἐργασία. Ὃν τρόπον γὰρ φυτεύσας ἑαυτοῦ ἀμπελῶνα καὶ φυλακίσας αὐτὸν * καὶ

χάλιον.

φυλάξας αὐτὸν, ἀρχὰς τὸ ἐποίησε καρπόν, καὶ τρυγήσας αὐτὸν, ἐνέπλησε τοὺς

Ἱερεμ. Κγ, κθ.

πίθους οἴνου ἐκ τοῦ ἀμπελῶνος, καὶ μετὰ ταῦτα ἐγερθεὶς ἄφνω, καὶ κρούων * πέλυκα, συνέτριψε τοὺς πίθους, καὶ ἀπεχυθεὶς ὁ οἶνος ἀπώλετο. τοῦτο ὡμοιώθη σοι ἡ ἐργασία. Ταῦτα ὑποβάλλων ὁ Πονηρὸς τῷ ἀδελφῷ, βιαζόμενος αὐτὸν χαλάσαι εἰς τὸν βυθὸν τῆς ἀπογνώσεως. Ταύτας οὖν προγινώσκων, ἀγαπητὲ, τὰς μηχανὰς τοῦ ἐχθροῦ, φεῦγε ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ καὶ προελήφθης ἔν παραπτώματί τινι, μὴ ἔμμενε ἐν τῷ παραπτώματι· ἀλλ' ἀνάστηθι, καὶ ἐπίστρεψον πρὸς Κύριον τὸν Θεόν σου ἐν ὅλῃ καρδίᾳ σου, ὅπως σωθῇ ἡ ψυχή σου. Εἰπὲ δὲ πρὸς τὸν πονηρὸν λογισμόν· εἰ καὶ τοὺς πίθους συνέτριψα, καὶ τὸν οἶνον ἀπώλεσα, ἀλλ' ὁ ἀμπελὼν σέσωσται, καὶ ὁ Δεσπότης μακρόθυμος, καὶ πολύελεος, καὶ ἐλεήμων, καὶ δίκαιος· καὶ ἐλπίζω, τῆς ἀγαθότητος αὐτοῦ συνεργούσης, πάλιν φιλοκαλῆσαι, καὶ περιφυλάξαι τὸν ἀμπελῶνα αὐτοῦ, καὶ ἐμπλῆσαι τοὺς πίθους αὐτοῦ, καθὼς πρότερον. Λέγει γὰρ διὰ τοῦ προφήτου Ἡσαΐου, Ἐὰν

Ἡσ. Α, ιη, ιθ. τῶν ο'.

ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ ἐὰν ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΩΣ ΔΕΙ ΠΑΡΑΚΑΛΕΙΝ ΟΛΙΓΩΡΟΥΝΤΑΣ.

ΠΑΡΑΙΝΕΣΙΣ ΛΓ.

ΑΔΕΛΦΟΣ ἐζήτει τὸν ἑαυτοῦ ἀδελφὸν, καὶ εὑρὼν εἶπεν αὐτῷ· Ποῦ εἶς, ἀδελφέ; Ὁ δὲ ἀπεκρίθη, λέγων· ὁ δεῖνα, ὁ ἀδελφὸς ἐθλίβετο· καὶ ἀπῆλθον παρακαλέσαι αὐτόν. Ἔφη αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· ἐὰν διὰ τὸν Κύριον ἀπῆλθες, μισθὸν ἔχεις. Εἰσὶ γάρ τινες, οἳ δοκοῦσι παρακαλεῖν καὶ συμπαθεῖν, καὶ ἐπισυνάπτουσιν ἄλλας θλίψεις, καὶ εἰς βάραθρον ἀπάγουσι. Ὁ δὲ ἀδελφὸς ἔφη· καὶ ποταπός ἐστιν, ὅτε ὁ παρακαλεῖ τὸν ἀδελφὸν εἰς βάραθρον; Ἔφη αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· ἐὰν ᾖ ἀκηδιαστικὸς ὁ παρακαλῶν, οὐδὲ εἰς βελτίωσιν προβαίνει, ἀλλὰ καὶ εἰς ὠφέλειαν μεγάλην. Ὁ δὲ τὸ παράκλητον ἔχων φρόνημα, ἐπειδὴ οὐκ ὠφελήσει. Ὁ ἀδελφὸς λέγει. θέλω γνῶναι πῶς φρονεῖ, ἐπειδὴ μήποτε θέλων ὠφελῆσαι τὸν ἀδελφόν μου, βλάψω αὐτόν. Ἔφη δὲ αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· πρὸς Κύριον ζητήσωμεν ὁδηγηθῆναι ἀμφότεροι, ὅπως ἀποστείλῃ τὸν φόβον αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν. ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου, οὐ δυνάμενος λαβεῖν τὰς βουλὰς τοῦ καταρτισθῆναι ἀδελφόν. Ἄκουε τοίνυν· ὁ ἐπιμελὴς φρόνημα ἔχων, παραγινόμενος εἰς παράκλησιν ἀδελφῶν, τοιαῦτα παρέβαλλε δέ· τί ἔχεις, φησὶν, ἀδελφέ μου; Ὁ δὲ πρὸς αὐτὸν τὸ αἰτούμενον ἐξήγησε χρείαν, καὶ ὑπεδείκνυε· τὸν ἄλλον ἀδελφὸν προσφέρει, ὡς ὀδύνας λυπῆσαι αὐτόν. Καὶ ταῦτα ἀκούσας ὁ ἐλθὼν πρὸς παράκλησιν παραυθεὶς ἀνα-

*

φωνεῖ, λέγων· καὶ ὥσπερ τινὸς αὐτὸν ἀτιμάζοντος, ἐγὼ γὰρ ἐπὶ τῇ αὐλῇ τὸ αὐτὸ πεποίηκε καὶ ἠτίμασέ με· καὶ ἐπὶ ... καὶ οὐ θέλει ἑαυτὸν βαστάσαι· ἀλλὰ νομίζουσιν οἱ ἡγούμενοι τοῦ ὧδε, ὅτι μόνον ὧδε ἔξω σωθῆναι· εἰ ὧδε, οὐ δύναται σωθῆναι ἄνθρωπος. Ἀναχωρῶ κἀγὼ ἐντεῦθεν, καὶ ἀπαλλάττομαι τῶν ἀνθρώπων τούτων. Καὶ μᾶλλον τὸν ἀδελφὸν ἐν ταῖς λόγοις πίστεις βλάπτει. Ἐὰν δὲ εὑρεθῶσι καὶ ἕτεροι τῷ αὐτῷ λογισμῷ δεδουλωμένοι, χεῖρον καταλύουσι τὸν λογισμὸν τοῦ ἀδελφοῦ. Πολλάκις δὲ συμβαίνει, καὶ οἶνον μέσον ἐλθεῖν, καὶ ἕως οὐ μεθυσθῶσιν, οὐ παύονται πίνοντες, καὶ λογομαχοῦντες πρὸς ἀλλήλους. συμβαίνει δὲ ὅτε καὶ χεῖρας ἐπιβάλλουσιν ἀλλήλοις. οἱ μὲν καὶ ἐπὶ τοὺς τόπους καθεύδουσιν ἐκ τῆς πολυποσίας. Ὁ ἀδελφὸς λέγει· ἤθελον γνῶναι τῶν πνευματικῶν τὰ ῥήματα, ὅπως ἐκλέξωμαι ἐπ᾽ αὐτοῖς τὰ κάλλιστα. Ὁ δὲ ἀπεκρίθη· ὁ πνευματικός, ὅταν μέλλει πορευθῆναι εἰς παράκλησιν ἀδελφοῦ, πρὸ πάντων, καὶ πρὸ τοῦ ἐξιέναι τοῦ κελλίου αὐτοῦ, ἵσταται εἰς εὐχήν· ὅπως ὁ Κύριος εὐοδώσῃ τὴν ὁδὸν αὐτοῦ. Καὶ ἐλθὼν πρὸς τὴν θύραν τοῦ ἀδελφοῦ, κρούσας βάλλει μετάνοιαν· καὶ ἐπιτραπεὶς εἰσέρχεται, καὶ ἵσταται εἰς προσευχήν. Μετὰ ταῦτα δὲ καθέζονται σιωπῶντες. Εἶτα λέγει ὁ κύριος τοῦ κελλίου πρὸς τὸν ἀδελφόν· καλῶς *ἥκεις, ἦλθες γὰρ εὐλογῆσαι ἡμᾶς. Ἀποκρίνεται ὁ ἀδελφός, ἐγὼ εὐλογοῦμαι παρὰ τῆς εὐλαβείας σου. Παρακαλῶ σε οὖν, εὐλογημένε ὑπὸ Κυρίου, τί ἐστιν ὃ ἔχεις; Ὁ δὲ προσφέρει τοὺς λογισμούς, ἤ τινα ἀδελφὸν λυποῦντα αὐτόν. Ὁ οὖν ἀδελφὸς ἀκούσας ταῦτα, λέγει· Κύριε βοήθει· ὁ Ἐχθρὸς γὰρ οὐ θέλει τινὰ ἡσυχάσαι. Πάλιν δὲ *ὑπολαβὼν λέγει· ὅμως, ἀγαπητέ, ποῦ οὐκ εἰσὶ θλίψεις; ποῦ οὐκ ἔνι κόπος; Οἱ κοσμικοί, οὐ κοπιῶσιν; οἱ ναῦται πελαγοδρομοῦντες, οὐ κινδυνεύουσιν; οἱ στρατιῶται, ἐν τοῖς πολέμοις οὐ κινδυνεύουσι; Καὶ πῶς ἡμεῖς ὀλιγωροῦμεν, ὡς μόνοι θλιβόμενοι; Οἱ κοσμικοὶ εἰς τὰ κοσμικὰ κοπιῶσιν· οἱ πνευματικοὶ εἰς ἔργα πνευματικὰ θλίβονται. ἀλλ᾽ ἡ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται, ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς ζωὴν αἰώνιον. Καὶ ἡμεῖς οὖν θλιβόμενοι, μὴ ὀλιγωρήσωμεν. Γέγραπται γάρ· ἡ θλῖψις *ὑμῶν εἰς χαρὰν γενήσεται. Καὶ σὺ τὰ αὐτὰ ὑπέμεινας, νυνὶ δὲ σαρκὶ ἐπιτελεῖς; Ἀναλόγισαι, ὅτι τῷ κόσμῳ ἀπετάξω καὶ τοῖς ἰδίοις θελήμασι, καὶ λόγον οὐκ ἀνέχῃ; ὅτι, τούτου χάριν βούλει καὶ τῆς μονῆς ἀποστῆναι; Οὕτως ὁ Ἐχθρὸς τὸν λογισμὸν ταπεινοφροσύνης ἀπεσύλησε; καὶ τούτου χάριν τὰ πάθη σφοδρῶς ἡμῖν ἐπανίστανται; Μή μοι ὀργίζου τὰ τῆς ἀληθείας λέγοντι πρός σε· πάσχων γὰρ ὑπὲρ σοῦ ταῦτα, λαλῶ. Πόθεν γὰρ γέγονεν ἡ αἰτία; Πάντως ἢ διὰ βρῶμα, ἢ διὰ πόμα, ἢ διὰ τὸ μὴ ἀνέξασθαι λόγον. Τοσαῦτα ἐζημιώθης, καὶ ἡγήσω σκύβαλα, ἵνα Χριστὸν κερδήσῃς, καὶ πάλιν τοῖς πάθεσι τοῖς παλαιοῖς ἀνέχῃ καταδουλοῦσθαι τὸν νοῦν. Ἐὰν γὰρ ἐγκράτειαν μὴ ἀγαπήσωμεν, καὶ τὸ ἑαυτῶν θέλημα οὐ κόπτωμεν, οὐκ ἔστιν ἡμῖν παῤῥησία λέγειν· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. Ἀναλόγισαι, ποταπὸς ἦς, ὅτε παρεγένου πρὸς τὴν θύραν τοῦ μοναστηρίου, ζέων τῷ πνεύματι εἰς τὸν φόβον τοῦ Κυρίου. Ἀλλ᾽ ἴσως βούλει λέγειν, ὅτι οἱ ἄνθρωποι οὗτοι διέστρεψάν μου τὸν λογισμόν. Θέλεις, δείξω σοι, ἀγαπητέ, ὅτι ἐκ τῆς ἡμῶν ῥᾳθυμίας ἡ αἰτία γέγονεν; Ὁ Λὼτ ἐν Σοδόμοις κατῴκει, καὶ οὐ συναπώλετο αὐτοῖς. Ὁ δὲ Γιεζὶ τῷ προφήτῃ Ἐλισσαίῳ ἐλειτούργει, καὶ ἥμαρτεν. Ὁμοίως καὶ

ἄλλως, ἥκεις.
ἴσ. ὑπολαβών.
Ἰωάν. Ις, κ.
ἄλλως, ἡμῶν.
Γαλάτ. Γ, γ.
Φιλιπ. Γ, η.
Ματθ. ΙΘ, κζ.
Μάρκ. Ι, κη.
Λουκ. Ιη, κη.
Γένεσ. ΙΘ, ις.
δ Βασ. Ε, κζ.

α Βασ. Β, κδ. Σαμουὴλ τῷ Ἠλὶ προσέμενε, καὶ τοῖς υἱοῖς αὐτοῦ συνανεστρέφη· κἀκεῖνοι
Ματθ. Κς, μζ. παρέπεσον, οὗτος δὲ ἐσώθη, ὅτι ἠγάπα τὸν Κύριον ἐν ἀληθείᾳ. Ἰούδας δὲ ὁ Ἰσκα-
Μάρκ. Ιδ, μγ. ριώτης, σὺν τοῖς μαθηταῖς τῷ Κυρίῳ ἀκολουθῶν, καὶ παρέδωκε τὸν Διδάσκαλον
Λουκ. Κβ, μη. Ἰωάν. Ιη, γ. καὶ Κύριον τῆς δόξης εἰς χεῖρας ἀνόμων. Μὴ οὖν ἔχωμεν τὴν τοῦ Ἐχθροῦ βουλὴν τοῦ
ὑποβάλλοντος δῆθεν εὐλόγους προφάσεις ἐπὶ καταστροφῇ τῆς ἡμετέρας ψυχῆς. η
Ἔχομεν γὰρ ὑποδείγματα ἐκ τῆς Θείας Γραφῆς, τὸ ἑαυτῷ προσέχειν ἕκα-
στον, εἴτε δικαίοις συναναστρεφόμενον, εἴτε ἁμαρτωλοῖς. Δικαίοις δὲ συνόν-
τες, δικαίως καὶ ὁσίως ζήσωμεν. Εἰ δὲ καὶ ἁμαρτωλοῖς, σπουδάσωμεν, οὐχ
ἵνα τὰ ἔργα ἐκείνων ζηλώσωμεν, ἀλλ' ἵνα ὑφ' ἡμῶν ἐκεῖνοι ἑλκυσθῶσιν εἰς
ὁδὸν σωτηρίας, τῆς χάριτος συνεργούσης. Εἰ δὲ βάλλει λέγειν, ὅτι ἀσθενής εἰμι καὶ θ
ὀλίγωρος· ἀκούσωμεν τῆς Θείας Γραφῆς, καὶ ζηλώσωμεν τὴν πολιτείαν τῶν ἁγίων
πατέρων, ὅπως ἰαθῇ ἡμῶν ἡ ψυχή, καὶ μὴ μόνον ἐν τῷ ἀκούειν λάβωμεν κα-
τάνυξιν, καὶ μετ' ὀλίγον τὰ χείρονα ποιήσωμεν. Ὁ γὰρ οὕτω λαμβάνων τὸν
Ματθ. Γ, ι. λόγον, οὐδέποτε καρποφορήσει· ῥίζαν γὰρ οὐκ ἔχουσιν ἐν ἑαυτοῖς. Πᾶν δὲ δέν-
δρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Ὡς ἀσθενεῖς, ι
ἄλλ. ὀλιγῶσι. ἀκούσωμεν παρρησίαν ἀνδρῶν φοβουμένων τὸν Κύριον, οἵτινες πρὸς ὑγείαν * ὁδηγοῦσι
τὴν ψυχήν· καὶ μὴ ὁμοιωθῶμεν ἐκείνοις, οἵτινες πρὸς τὸ ἴδιον θέλημα ἀκούειν βουλό-
μενοι μόνον· ἵνα μὴ παραπολαύσωμεν, συγκολλώμενοι τῷ τῆς κακοφροσύνης λο-
γισμῷ. Εἴρηκέ τις τῶν ἁγίων· ἐὰν ἴδῃς νεώτερον τῷ ἰδίῳ θελήματι ἀναβαίνοντα εἰς
οὐρανόν, κράτει αὐτόν· συμφέρει γὰρ αὐτῷ. Νόει δὲ τοῦτο καὶ περὶ παλαιῶν τῷ ια
Παροιμ. Ιβ, ιε. χρόνῳ, νεωτέρων δὲ ταῖς φρεσί. Λέγει γὰρ ἐν ταῖς παροιμίαις ὁ Σοφός· ὁδοὶ
ἄλλως, νωθραί. ἀφρόνων * ὀρθαὶ ἐνώπιον αὐτῶν· ὁ δὲ σοφὸς δέχεται συμβουλίαν. Ἀκούσωμεν δὲ
α Πέτρ. Ε, ε. καὶ τοῦ λέγοντος· νεώτεροι, ὑποτάγητε πρεσβυτέροις· πάντες ἀλλήλοις τὴν ταπει-
Ἰακ. Δ, ς. ἄλλως, ἐγκολπώσασθε. νοφροσύνην * ἐγκομβώσασθε· ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς
δὲ δίδωσι χάριν. Εἰσὶ γάρ τινες οἰόμενοι σοφοὶ εἶναι, καὶ οὐκ ἀξιοῦσιν ὑποτάσσεσθαι ιβ
τοῖς ὄντως σοφοῖς, καὶ γνῶσιν Θεοῦ ἔχουσι. Τούτους ὁ Ἀπόστολος ματαιολόγους καὶ
Τίτ. Α, ι. φρεναπάτας ἀποκαλεῖ, λέγων· Εἰσὶ γὰρ πολλοὶ ματαιολόγοι, ἀνυπότακτοι, καὶ
φρεναπάται. Ἑτέρῳ δὲ ὑποβάλλει πολλάκις ὁ λογισμός, καί φησι· πῶς; νεώ-
τερος εἶ, περὶ τὸ γῆρας σου μετανοήσεις. Καὶ ἐὰν φθάσῃ γηράσαι, προσφέρει αὐτῷ
ὁ λογισμὸς πάλιν· νεωστὶ γεγήρακας, καὶ ἀναπαύσεως δέῃ. Ὅθεν ἀναγκαῖον, ιγ
ἀγαπητέ, μετὰ φόβου καὶ τρόμου δουλεύειν τῷ Κυρίῳ καθ' ἑκάστην ἡμέραν. Τίς γὰρ
ἡμῖν εἶπεν, ὅτι γηράσκωμεν; καὶ ἐὰν γηράσωμεν, ὅτι εὑρίσκωμεν λογισμοὺς
ἀγαθούς; ἐάν τις ἐντεῦθεν ἀμελήσωμεν τῆς ἑαυτῶν σωτηρίας. Ἀκούσωμεν τοῦ
ἄλλως, Σωτῆρος. * Κυρίου λέγοντος· γρηγορεῖτε καὶ προσεύχεσθε, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ
Ματθ. Κδ, μβ. Κε, ιγ. τὴν ὥραν. Ἡμεῖς τῇ ἑαυτῶν ῥαθυμίᾳ βαρεῖ λογιζόμεθα τὸν χρόνον ζωῆς τοῦ ιδ
Μάρκ. Ιγ, λγ. Κυρίου; Πόσους δοκεῖς, ἀγαπητέ, ἐν τῷ κόσμῳ διαφόρως τεθλιμμένους, τὰ
ἑαυτῶν τέκνα ἐν ὑποθήκῃ θέμενοι; ἑτέρων δὲ τέκνα δικαστῶν ἐν αἰχμαλω-
σίᾳ περιπεσόντα· καὶ εἰς δουλείαν πραθέντα, δουλεύουσιν ἀλλοτρίοις αὐτῶν ἐν
γῇ ἀλλοτρίᾳ; ἄλλοι δὲ πτωχοί, ἐρριμμένοι ἐν ταῖς πλατείαις καὶ ῥύμαις τῆς
πόλεως, γυμνοί, τῷ ψύχει καὶ τῷ καύματι θλιβόμενοι. Καὶ ἡμῖν οὐ πολύ ἐστιν, ιε
ὅτι ἔχομεν τὴν σκέπην ταύτην, ἣν ὁ Κύριος ἡμῖν ἐχαρίσατο, καὶ τῶν ἀπηλλάγμεθα
τῶν κοσμικῶν πραγμάτων. Ταῦτα μνημονεύωμεν, καὶ μὴ ἀθετήσωμεν τὴν χάριν τοῦ

Θεοῦ, καὶ ταῖς εὐεργεσίαις αὐτοῦ, * ὅτι ἠξίωσεν ἡμᾶς τοῦ χρηστοῦ αὐτοῦ ζυγοῦ. Ἀλλὰ ἄλ. ὅτι.
καὶ ἐζητήσαμεν, καὶ οὐκ ἔδωκεν ἡμῖν. Καὶ * τίς οὐκ οἶδεν, ὅτι οὐκ εἰς τὸ συμ- ἄλ. τίς οἶδε.
φέρον ἡμῖν τοῦτο γέγονεν. Εἴπωμεν δὲ τοῦτο· οὐ συνοίδεν ἄρα τις ἡμῶν προσ-
κόψαντας τῷ Κυρίῳ, καὶ ἰδὼν ὁ Κύριος ἐμακροθύμησε; Περὶ δὲ τῶν ἡγουμένων,
Ε. τῷ Κυρίῳ καταλείψωμεν. πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. Ρωμ. ΙΔ, ι.
Θεὸς γὰρ πρόσωπον ἀνθρώπου οὐ λαμβάνει. Ἀνάστα οὖν, καὶ προθύμως σπούδαζε, Πράξ. Ι, λδ.
καὶ μὴ συγκατάπιπτε τοῖς λογισμοῖς. Ἄκουε τοῦ λέγοντος· μὴ νικῶ ὑπὸ τοῦ κα- Ρωμ. ΙΒ, κα.
κοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. Οἴμοι τῷ ἁμαρτωλῷ, ἀγαπητέ·
τοσαῦτα ὑπέμεινεν ὁ Κύριος τῆς δόξης ὑπὲρ ἡμῶν, τί δυνάμεθα ἀνταξίως
Ι. * προσφέρειν αὐτῷ ἀντὶ τῶν παθημάτων, ὧν ὑπέμεινε δι' ἡμᾶς; Προσφέρωμεν ἄλ. προφέρειν.
οὖν αὐτῷ ἐξ ὅλης τῆς καρδίας, τὴν ὑπομονὴν ἀγαπῶντες διὰ τὴν ἀγαθότητα
αὐτοῦ. Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Πράξ. ΙΔ, κβ.
Εἶπε γὰρ ὁ Σωτὴρ τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη Ἰωάν. Ις, κ, κα, κβ.
ὑμῶν εἰς χαρὰν γενήσεται· ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα
ΙΕ. αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χα-
ράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς * ἕξετε θλίψιν· πάλιν δὲ ἄλ. ἔχετε λύπην.
ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ'
ὑμῶν. Καὶ στηρίξας τὸν ἀδελφὸν λόγῳ ἀληθείας, καὶ τὴν δωρεὰν τῆς χάριτος,
ἀμφότεροι εὐχαριστοῦσι τῷ Κυρίῳ. Εἰ δὲ καὶ συμβῇ γενέσθαι μετ' ἀλλήλων, μετὰ
Κ. πάσης σεμνότητος ἐσθίουσι καὶ πίνουσι, διὰ τὸν * ὑπομετασμὸν * τῆς σαρκός, καὶ διὰ ἴσως, ὑπερπασμόν. ἄλ. τοῦ σώματος.
τὸ μὴ μεθύσκεσθαι οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. Καὶ ποιήσας τὰ ἔργα τοῦ Κυρίου, Ἐφεσ. Ε, ιη.
ὑποστρέφει εἰς τὸ κελλίον ἑαυτοῦ, δοξάζων τὸν Θεὸν ἐπὶ τῇ μεταβολῇ τοῦ ἀδελ-
φοῦ. ὅτι * τῷ Θεῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. ἄλλως, τῷ Θεῷ ἡμῶν δόξα. ἀμήν.

ΚΕ. ΟΤΙ ΔΕΙ ΤΟΝ ΑΝΑΓΙΝΩΣΚΟΝΤΑ ΑΔΕΛΦΟΝ ΕΝΝΟΕΙΝ, ΚΑΙ ΦΙΛΟΠΟΝΩΣ ΑΝΑΓΙΝΩΣΚΕΙΝ, ΩΣ ΤΟΥ ΘΕΟΥ ΠΑΡΟΝΤΟΣ.

ΠΑΡΑΙΝΕΣΙΣ ΛΔ.

ΑΓΑΠΗΤΕ, ἐὰν προσταχθῇ σοι ἀναγνῶναι ἐν τοῖς * ὦσι τῶν ἀδελφῶν ἄλλως, ἔσω ἀδελφῶν.
Λ. πῶς, σημείωσαι μετ' ἀκριβείας, ποῦ τετέλεκεν ὁ ἀναγνωσάμενος, καὶ λα-
βὼν τὴν λέξιν, ἐπέχου τῆς ἀναγνώσεως· ἵνα ᾖ καὶ ἡ ἀνάγνωσις, ὥσπερ σειρὰ κατ-
υφασμένη χρυσίῳ. Ὁ γὰρ καταφρονῶν λέγει ἕνα, καὶ ἀπολλύει τοὺς στίχους, οὐδὲ ἄλλως, ἐκ βιβλίου.
οὐδὲ μανθάνειν βούλεται, καθὼς χρή, οὐδὲ ἐκδιδάσκει τοὺς προσέχοντας, μόνον
γὰρ τὸ τέλος τοῦ λόγου διώκει, καὶ πότε ἀπαρτισθῇ ἡ βίβλος. Σὺ δέ, ἀγαπητέ, α Πέτρ. Ε, η.
ΛΒ. νηφάλιος γίνου, ὅπως καὶ σεαυτὸν ὠφελήσῃς, διὰ τῆς ἀναγνώσεως, καὶ τοὺς ἀκροα-
τάς σου. Ἐὰν αἰφνιδίως ἐπιταγῇ σοι ἀναγνῶναι, ἐκ τοῦ * δεξιοῦ μέρους ἄρχου ἄλ. δεξιοῦ, κατὰ Σύρους.
τῆς ἀναγνώσεως. Εἰ δὲ ἀρχὴ ἐστὶ λόγου, λέγε τὴν ἐπιγραφήν· οὕτω γὰρ γνω-
σθήσεται τὰ λεγόμενα. Εἰ δὲ κέκτησαι βιβλίον εὐτελές, κτῆσαι αὐτό· μήποτε
εὑρεθῇ ἐν αὐτῷ προσκόμματα τῷ ἀναγινώσκοντι, ἢ καὶ μεταγράφοντι.

ΠΕΡΙ ΠΑΡΘΕΝΙΑΣ ΚΑΙ ΣΩΦΡΟΣΥΝΗΣ

*ΠΑΡΑΙΝΕΣΙΣ ΛΕ.

ἄλλως, λόγος ἀντιῤῥητικός.

ΤΩ ἀδελφῷ, ἢ τῇ ἀδελφῇ ὑποβάλλει ὁ Πονηρὸς, λέγων· ἰδοὺ καθ' ἑκάστην ὥραν ἐνοχλῆσαι ὑπὸ τῆς πορνείας· ἕως τινὸς ὑποφέρεις τὸν κόπον, καὶ μακροθυμεῖς; Ὁ ἀδελφὸς λέγει· ἕως οὗ ἐπίδῃ ὁ Κύριος τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἀφήσῃ πάσας τὰς ἁμαρτίας μου. Ὁ Πονηρὸς λέγει· ἀλλ' ἵνα μὴ πολεμηθῇς, τέλεσον σὰ ἅπαξ τὴν ἐπιθυμίαν, καὶ πάλιν μετανοήσῃς· οὐδὲν γάρ ἐστι τὸ πρᾶγμα. Ὁ ἀδελφὸς λέγει· οὐ χρείαν ἔχω παρὰ σοῦ μαθεῖν περὶ μετανοίας· ἐγὼ γὰρ ἐπίσταμαι, ὅτι μετάνοια κεῖται τῷ ἀνθρώπῳ, ἕως ἐσχάτης ἀναπνοῆς διὰ τὴν πολλὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Περὶ δὲ οὗ εἴρηκας, ὅτι οὐδέν ἐστι τὸ πρᾶγμα· ἐάνπερ ἐν τῷ μικρῷ τούτῳ εὐδόκιμος φανῶμαι ἐνώπιον τοῦ Θεοῦ μου, πόσῳ μᾶλλον εὐδόκιμος φανήσομαι, ἐάνπερ ἐπέλθῃ μοι μείζων τούτου πειρασμός. Ὁ Πονηρὸς λέγει· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστιν, ὥστε καὶ πάλιν δεῖ σε μετανοεῖν. Ὁ ἀδελφὸς λέγει· καὶ τίς μοι λέγῃ, ὅτι ἐὰν φθείρω μου τὴν σάρκα, εὑρίσκω ἡμέραν μετανοίας; καὶ οὐχὶ συναπόλλυμαι ἅμα τοῖς ἐργαζομένοις τὴν ἀνομίαν; σκιὰ γὰρ τυγχάνει ὁ βίος ἡμῶν ἐπὶ τῆς γῆς. Τί γάρ ἐν πολλοῖς ἐστιν, ἐάνπερ λάβω μάχαιραν καὶ ἀναιρέσω ἐμαυτόν. Ὁ Πονηρὸς λέγει· ἀλλὰ τὸ πρᾶγμα τῆς ἐπιθυμίας οὐδέν ἐστι· μιᾶς γὰρ ὥρας ἐστὶ, καὶ εὐθὺς παρῆλθε τὸ πρᾶγμα. Ὁ ἀδελφὸς λέγει· ἄκουε, Ἐχθρὲ τῆς ζωῆς, καὶ Πολέμιε τῶν ψυχῶν, οἵα τιμὴ κεῖται παρὰ τῷ Θεῷ τοῖς τὸ μικρὸν τοῦτο, ὃ σὺ ἔφης, νικήσασι δι' εὐσέβειαν· καὶ οἵα τιμωρία καὶ ἀτιμία κεῖται παρὰ τῷ Θεῷ τοῖς τῷ μικρῷ τούτῳ ἡττημένοις. Οἷος ὁ σώφρων Ἰωσήφ; οὐχὶ τὸ πάθος τοῦτο νικήσας, κατὰ γενεὰν καὶ γενεὰν ἐπαινεῖται ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς; τὸ δὲ ὄνειδος τῆς Αἰγυπτίας ἀεὶ καταγελᾶται. Ὁμοίως δὲ καὶ ἡ μακαρία Σωσάννα *ἐγκωμιάζεται κατὰ γενεὰν καὶ γενεὰν, ἕως τοῦ αἰῶνος, τὴν ἐπιθυμίαν νικήσασα· οὐ γὰρ ἐνετράπη εἰς πλοῦτον ἴδιον, οὐδὲ τὴν ἀπειλὴν τοῦ θανάτου φοβηθεῖσα προέδωκε τὴν σωφροσύνην. Οἱ πρεσβύτεροι δὲ καὶ οἱ κριταὶ τοῦ λαοῦ, οἱ ἐδόκουν κυβερνᾷν τὸν λαὸν, τῷ πάθει τούτῳ ἡττηθέντες, λιθοβοληθέντες ἀπέθανον, ἅμα δὲ καὶ κατέλιπον ἑαυτοῖς ὄνομα οὐκ ἀγαθὸν εἰς τὰς μετ' αὐτῶν γενεάς. Οὐκ οἶδας, Διάβολε, ὅτι ἐὰν ἐθίσῃ θηρίον σαρκοφαγεῖν, πυκνότερον ἀποκαθίσταται πρὸς τὸ πάθος. Καὶ σὺ ὑποβάλλεις μοι, λέγων, ὅτι ἐὰν ποιήσῃς σου ἅπαξ τὴν ἐπιθυμίαν, οὐκέτι ἐνοχληθήσῃ. Κύριος ὁ Θεὸς ὁ δοὺς ἀνθρώποις τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον, ἐπιτιμήσαι σοι, ὅτι ἐνεδρεύεις, ὥσπερ λέων, καταπιεῖν τὴν ψυχήν μου βουλόμενος διὰ τῆς ἁμαρτίας. Ἀλλ' ὁ Σωτὴρ ἡμῶν Χριστὸς, οὐ μὴ δώσει σοι τόπον, ὅτι φιλάνθρωπος καὶ δυνάστης καὶ ἐλεήμων ὑπάρχων. Ὁ Πονηρὸς ὑποβάλλει· τὸ πρᾶγμα ἐστὶν ὅλως οὐδὲν, καὶ τί θλίβῃ ἄρτι; Ὁ ἀδελφὸς λέγει· θλίβομαι, ὅτι ἀπατᾷς τοὺς ἀνθρώπους· τὸ γὰρ γλυκύ σου, πικρόν ἐστι· καὶ τὸ δόγμα σου, βάραθρόν ἐστι κακῶν· καὶ τὰ χαρίσματά σου, *θανάτου καὶ ἀπωλείας πεπλήρωνται. Ὅτι ὑποβάλλεις μοι ἀθετῆσαι τὴν χάριν τοῦ Κυρίου, καὶ λυπῆσαι τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθην εἰς ἡμέραν ἀπολυτρώσεως. Καὶ λέγεις μοι, οὐδέν ἐστι τὸ πρᾶγμα, καὶ ὑποβάλλεις μοι, ὅπως τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη;

*

Ἰώβ, Η, θ.
Ψαλμ. Ρμγ, δ.
Γένεσ. Λθ, ζ, κ.
Σωσάννα.
α Πέτρ. Ε, η.
ἄλλ. θάνατος καὶ ἀπώλεια· ὅπ.
Ἐφεσ. Δ, λ.
α Κορινθ. ς, ιε.

ὁ ὑποβάλλων μοι, [illegible] ἀθάνατον καὶ λέγων μοι· Τὸν ἁγιασμὸν ἀθέτησον, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον; Οὐδέν ἐστι τὸ πρᾶγμα; καὶ ὑποβάλλεις μοι παροξῦναι τὸν Κύριον, ὅπως ἀκούσω ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, ἔμπροσθεν τοῦ φοβεροῦ βήματος τοῦ Θεοῦ, παρὰ τοῦ δικαίου κριτοῦ, Δοῦλε πονηρὲ, καὶ φιλήδονε μᾶλλον ἢ φιλόθεε, ἐμόλυνάς μου τὴν γῆν ἐν τοῖς μιάσμασί σου καὶ ἐν ταῖς ἁμαρτίαις σου. Καὶ λέγεις μοι, οὐδέν ἐστι τὸ πρᾶγμα. καθὼς γέγραπται, ὡς οὐκ ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρίσιν τετηρημένους· καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ' ὄγδοον Νῶε, δικαιοσύνης κήρυκα, ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας· καὶ πόλεις ἀσεβῶν Σοδόμων καὶ Γομόρρας τεφρώσας, καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς. Καὶ λέγεις μοι, οὐδέν ἐστι τὸ πρᾶγμα; Τίς δὲ ὑπήκοος σοι γενόμενος, καὶ δουλωθεὶς τῇ ἁμαρτίᾳ, διῆξεν ἐν ἀγαθοῖς τὰς ἡμέρας αὐτοῦ, κληρονομήσας τὴν ἀτελεύτητον βασιλείαν. Ὁ δὲ ἐξακολουθῶν τῇ ὁδῷ τοῦ Χριστοῦ, πάντοτε χαίρει καὶ ἀγάλλεται ἐν Πνεύματι ἁγίῳ, προσδεχόμενος τὴν μακαρίαν ἐλπίδα τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Οἶδα δὲ ὅτι ἐὰν νικήσῃς, οὐκ ἐκφεύξομαι τὰς λύπας· καὶ σὺ μὲν ἀπολαύσῃ εὐαγγελιζόμενος παρὰ σοῦ τῷ Σατανᾷ, συγχαίρων τῷ ἐμῷ πτώματι. Ἐγὼ δὲ αἰσχυνθήσομαι ἐν τοῖς ἀγγέλοις [illegible] προσέξω. Κρεῖττον οὖν μοι ἐστιν, ἵνα σὺ ἐγκαλῇς, ὥσπερ κλαίων, ἢ ἵνα γελάσῃς κατ' ἐμοῦ τοῦτον τὸν γέλωτα. Θαυμάζω δὲ ἐπί σοι, Διάβολε, ὅτι μηχανᾶσαι τοὺς ἀνθρώπους προκρίνειν τὴν μικρὰν ἡδονὴν ταύτην, τῆς αἰωνίου ζωῆς. Κύριος, ἰσχὺς ἡμῶν, καὶ βοηθὸς ἡμῶν. Κύριος, καταφυγὴ ἡμῶν, καὶ ἀντιλήπτωρ. Κύριος, ὑπερασπιστὴς ἡμῶν, καὶ οὐ φοβηθήσομαι σε. Ἀγωνίζου τοίνυν, ἀγαπητέ, προσφέρειν κατ' αὐτοῦ τὸν φόβον τῆς Γεέννης, καὶ τὴν πικρότητα τῶν βασάνων, ὅπως μὴ ἐξαπατήσῃ σε τῇ πανουργίᾳ αὐτοῦ. Ἀλλ' ἴσως ἐρεῖ τις· καὶ πόθεν γνώσομαι τὸν φόβον τῆς Γεέννης; Ἄνθρωπον λέγω. Οὐκ εἰσῆλθες εἰς βαλανεῖόν ποτε; οὐχ ἑώρακας ἀνθρώπους ἐκεῖ λελυμένους ἐκ τῆς πυρᾶς, καὶ εἰς * τὸ νεαρὸν βαλλομένους. Ἐν ἐκείνῃ δὲ τῇ φλογὶ τῇ μελλούσῃ διαδέχεσθαι τοὺς ἁμαρτωλοὺς, οὔτε * νεροφόρος παράκειται, οὔτε θύρα καὶ ἔκβασις ὑπάρχει, οὔτε φέγγος, οὔτε ἄνεμος δροσίζων. οὔτε ἐὰν βοήσῃ τις μεγάλῃ τῇ φωνῇ φλογιζόμενος, ἔστιν ὁ βοηθῶν ἢ παρακαλῶν ἑαυτῆς καταπαύσασθαι ὑπὲρ τῆς ἰδίας [illegible]. Γέγραπται γὰρ, Ἡ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος· καὶ οὐκ ἔστι χάρις τοῖς ἀσεβέσιν. Οὐχ ἑώρακας δὲ καὶ αὐτὴν τὴν κάμινον πῶς ἐκκαίουσι τὰ βαλανεῖα; Ἐν ἐκείνῳ δὲ τῷ πυρὶ, ἀντὶ ξύλου καὶ [illegible] καὶ καλάμου, ἀσεβεῖς καὶ ἁμαρτωλοὶ κατακαίονται θείῳ πυρί. αἱ ἁμαρτίαι αὐτῶν ἀναβαίνουσι κατ' αὐτῶν, καὶ σφοδροτέραν τὴν φλόγα κατ' αὐτῶν ἀπεργάζονται. Γέγραπται γὰρ, Ὀργὴ καὶ θυμὸς, θλίψις καὶ στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος. δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι· οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Διὸ, ἀγαπητοὶ, σπεύσωμεν πρὸς Κύριον ἐν προσευχαῖς καὶ ἐν ἐλεημοσύναις μετὰ πάσης ταπεινοφροσύνης, ὡς ἔτι ἔχομεν καιρὸν, ἵνα ῥυσθῶμεν ἐκ τῆς προσεχο-

Εβρ. ιβ, ιδ.

β Πέτρ. Β, δ, ε, ς.

ἄλλ. Διαβόλῳ.

τυτέσι τὸ ναρὸν, ἤτοι ὕδωρ.

τυτέσι ναροφόρος ἢ ὑδροφόρος.

Ιακ. Β. ιγ.

Ρωμ. Β, η, θ, ι, ια.

α Τιμοθ. Β, δ. μηδὲν κακῶν. Θέλει γὰρ ὁ Κύριος πάντας ἡμᾶς σωθῆναι, διὰ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα. ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΕΡΙ ΑΓΝΕΙΑΣ
ΠΑΡΑΙΝΕΣΙΣ Λϛ.

ΠΑΡΕΙΚΑΖΕ τὴν ἁγνείαν, ἀγαπητὲ ἀδελφὲ, τῷ φοίνικι. Ὁ γὰρ φοῖνιξ τὴν μὲν καρδίαν λευκὴν ἔχει, τέρπει δὲ τὸ πολύπτον γένει, τοὺς περικυκλοῦντας τὰς λευκάδας αὐτοῦ. Χρὴ οὖν πρὸς πάντας ἀνθρώπους κεκτῆσθαι ἀγάπην ἐκ καθαρᾶς καρδίας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως· πρὸς δὲ τοὺς ὑπεναντίους καὶ φιληδόνους ἀνθρώπους * συφότητι κατέχειν· ἐν δὲ τῇ * συφότητι, τὴν γνῶσιν, καὶ τὴν σωφροσύνην, καὶ τὴν εἰρήνην. Διὰ τὸ λέγοντα Ἀπόστολον, Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μήποτε δῴη αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ Διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. Ὦ ἁγνεία, ἡ βδελυσσομένη τρυφὴν, καὶ σπατάλην, καὶ φιλοκαλίαν σώματος, καὶ ἱματίων καλλωπισμόν. Ὦ ἁγνεία, μισήτειρα πολυτελῶν βρωμάτων, καὶ μέθην ἀποσοβοῦσα. Ὦ ἁγνεία, χαλίνωμα ὀφθαλμῶν, καὶ ὅλον τὸ σῶμα μετάγουσα ἀπὸ σκότους εἰς * φῶς. Ὦ ἁγνεία, τὴν σάρκα ὑποπιάζουσα, καὶ δουλαγωγοῦσα, καὶ πρὸς τὰ οὐράνια ὀξυδορκοῦσα. Ὦ ἁγνεία, γεννήτειρα ἀγάπης, καὶ ἀγγέλων πολίτευμα. Ὦ ἁγνεία, ἡ τὴν καρδίαν καθαρὰν ἔχουσα, καὶ λάρυγγος γλυκύτης, καὶ φαιδρὸν πρόσωπον. Ὦ ἁγνεία, ἡ τὴν * φιλόθεον ὑπόστασιν ἐν γῇ ἀλλοτρίᾳ, ὥστε καὶ τοὺς ἀπηστημένους αὐτὸν ἐξαγοράζειν. Ὦ ἁγνεία, Θεοῦ δῶρον, πλήρης χρηστότητος καὶ παιδείας καὶ γνώσεως. Ὦ ἁγνεία, λιμὴν ἀκύμαντος, πλήρης εἰρήνης καὶ καταστάσεως. Ὦ ἁγνεία, ἡ χαροποιοῦσα τὴν καρδίαν τοῦ κεκτημένου αὐτὴν, καὶ τὴν ψυχὴν πτεροφυοῦσα εἰς τὰ οὐράνια. Ὦ ἁγνεία, ἡ χαρὰν πνευματικὴν γεννῶσα, καὶ λύπην φονοκτονοῦσα. Ὦ ἁγνεία, ἡ ἀποστυγοῦσα τὸ πονηρὸν, κολλωμένη δὲ τῷ ἀγαθῷ. Ὦ ἁγνεία, ἡ πάθη μειοῦσα, καὶ ἀπάθειαν ἀπεργαζομένη. Ὦ ἁγνεία, ἡ δικαίους φωτίζουσα, καὶ τὸν Διάβολον σκοτίζουσα, καὶ ὀξυδρομοῦσα πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐν Χριστῷ. Ὦ ἁγνεία, ἡ τὴν ἀκηδίαν ἀπελαύνουσα, καὶ τὴν ὑπομονὴν ἐμποιοῦσα. Ὦ ἁγνεία, φορτίον ἐλαφρὸν, ὑπὸ ὑδάτων μὴ καταποντιζόμενον, καὶ πλοῦτος αἰώνιος κεκρυμμένος ἐν ψυχῇ ἀνθρώπου φιλοχρίστου, ὃν εὑρήσει ὁ τοῦτον κεκτημένος, ἐν καιρῷ τῆς χρείας. Ὦ ἁγνεία, κτῆμα καλὸν, ὑπὸ θηρίων μὴ λυμαινόμενον, καὶ ὑπὸ πυρὸς μὴ κατακαιόμενον. Ὦ ἁγνεία, ἡ ἐν χερσὶ πλοῦτον ἀμεταμέλητον κατέχουσα, καὶ ὀλιγωρίαν ἀπελαύνουσα. Ὦ ἁγνεία, ἅρμα πνευματικὸν, καὶ τὸν κεκτημένον ἀνάγουσα εἰς ὕψος. Ὦ ἁγνεία, ἡ καταλύουσα ἐν ψυχαῖς πραέων καὶ ταπεινῶν, καὶ τοῦ Θεοῦ ἀνθρώποις ἐργαζομένη. Ὦ ἁγνεία, ἡ ἀνθοῦσα, ὡς ῥόδον, ἀνὰ μέσον ψυχῆς καὶ σώματος, καὶ ὅλον τὸν οἶκον πληροῦσα εὐωδίας. Ὦ ἁγνεία, πρόδρομε καὶ σύνοικε τοῦ ἁγίου Πνεύματος. Ὦ ἁγνεία, ἡ Θεῷ δυσωποῦσα, καὶ ταῖς ἐπαγγελίαις αὐτοῦ κομαζομένη, καὶ πρὸς πάντας ἀνθρώπους χάριν εὑρίσκουσα. Ταύτην ἠγάπησαν οἱ ἅγιοι. *Ταύτην ἠγάπησεν ὁ ἅγιος

Γαλατ. ϛ, ι.

ἴσ. συφρότητα. ἤτοι συφρότητα. ἴσως, συφρότητι. ἤτοι συφρότητι.

β Τιμ. Β, κδ, κε, κϛ.

ἀλλ. φῶς τῶν ἐντολῶν τοῦ Θεοῦ.

τὸν Ιωσήφ.

Φιλιππ. Γ, ιδ.

E I. II. K. KE. Λ. ΛE. M.

*

Ἰωάννης ὁ εὐαγγελιστὴς, καὶ πάντων ἀγαπήσας ἠξιώθη ἐπὶ τὸ στῆθος ἀναπεσεῖν Ἰωάν. ιγ, κγ. κα, κ.
ϑῆναι τοῦ Κυρίου τῆς δόξης. Ὦ ἁγνεία, ἡ οὐ μόνον ἐν τοῖς ἀειπαρθένοις κεκτημένη
τὰ βραβεῖα, ἀλλὰ καὶ ἐν τοῖς * γάμασι. Ταύτην οὖν καὶ ἡμεῖς ἀγαπήσωμεν, ἴσως, γήμασι.
δοῦλοι εὐλογημένοι τοῦ Σωτῆρος ἐν ὅλῃ καρδίᾳ, ὅπως χαριτωσώμεθα τὸ Πνεῦμα
E. τοῦ Θεοῦ τὸ ἐνοικοῦν ἐν ἡμῖν. * ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ἄλλ. ᾧ πρέπει πᾶσα δόξα, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΡΕΜΒΕΣΘΑΙ ΤΟΥΣ ΟΦΘΑΛΜΟΥΣ ΩΔΕ ΚΑΚΕΙΣΕ, ΑΛΛΑ ΜΑΛΛΟΝ ΚΑΤΩ ΕΧΕΙΝ ΤΟ ΒΛΕΜΜΑ, ΑΝΩ ΔΕ ΤΗΝ ΨΥΧΗΝ ΠΡΟΣ ΚΥΡΙΟΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΛΖ.

I. Καὶ ἐν τίνι κατίσχυται ὁ Δαίμων τῆς πορνείας; Οὐ μόνον δι' ἀποχῆς
βρωμάτων, ἀλλὰ καὶ διὰ τὸ ἀπέχεσθαι τοὺς ὀφθαλμοὺς τοῦ μὴ ἰδεῖν ματαιότητα. Ἐν γὰρ τῷ ἀδιαφόρῳ ὀφθαλμῷ τυγχάνει ἡ μοιχεία· ἣν ὁ Κύριος
διεμαρτύρατο, ἀμὴν, λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ Ματθ. Ε, κη.
IE. ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Ταύτην τὴν
μοιχείαν ἐκφεύξοι ὁ κάτω ἔχων τὸ ὄμμα, τὴν δὲ ψυχὴν πρὸς Κύριον. καὶ ὁ κρατήσας γαστρὸς, ἐπεκράτησε βλέμματος. Δεινὸς γὰρ ὑπάρχει προδότης, ὁ ὀφθαλμὸς ὁ μετέωρος. Τὰ γὰρ λοιπὰ πάθη πρόσφατον ἔχει τὴν ἐπιχείρησιν τοῦ πειρασμοῦ· ὁ δὲ τοῦ βλέμματος πόλεμος, καὶ παρὼν, καὶ ἀπὼν, ἀδιαλείπτως τὴν ψυχὴν,
K. τῇ ἐπιθυμίᾳ καταφλέγων τὸν νοῦν. Οἷόν τι λέγω, ἀγαπητοί. Ἤκουσέ τις ἡδυφωνίαν μουσικῶν, καὶ παρῆλθεν· ἔπειτα ἤκουσε φωνὴν πένθους, καὶ ὁ θρῆνος ἀπέκρουσε τὴν ἡδυφωνίαν τῆς μουσικῆς. Ὁμοίως δὲ ἐγεύσατο μέλιτος· ἔπειτα δὲ ἐγεύσατό τι τῶν πικροτάτων εἰδῶν. καὶ ἡ πικρότης ἀπέκρουσε τὴν ἡδύτητα τοῦ μέλιτος ἐκ τοῦ φάρυγγος. Εἶτα καὶ ἡ ὄσφρησις. Ὠσφρήσατό τις ἡδυπνοίας τινός·
KE. ἔπειτα ὠσφρήσατο καὶ δυσωδίας. καὶ ἡ δυσωδία ἀπέσβεσε τὴν ἡδύτητα τῆς ὀσφρήσεως. Εἶτα πάλιν ἥψατό τις ὕδατος ψυχροῦ· ἔπειτα ἥψατο βλύζοντος· καὶ ἡ ζέσις τοῦ θερμοῦ ἤμβλυνε τὴν ψυχρότητα τοῦ ὕδατος. ὁ δὲ τοῦ μετεώρου ὀφθαλμοῦ πόλεμος, καὶ παρούσης τῆς ὕλης, καὶ ἀπούσης, καταφλέγει τὸν νοῦν τῇ ἐπιθυμίᾳ. Ἀλλά γε καὶ ἐν ὑπνίοις φαντάζει τὴν καρδίαν. οἱ γὰρ Δαί-
Λ. μονες διαγράφουσι τὸν πειρασμὸν ἐν τῇ διανοίᾳ, καὶ αἰχμαλῶσι τὸν νοῦν, μορφοῦντες τὸν πειρασμὸν ἐν ὀφθαλμοῖς τοῦ ἀνθρώπου. Ὑπὲρ οὗ ὁ Προφήτης παρακαλεῖ, λέγων· Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα. Ῥεμ- Ψαλμ. ριθ, λζ.
βασμὸς γὰρ ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. ἐν γὰρ τῇ ὕλῃ τῶν ὀφθαλμῶν, ἔνεδρα Δαιμόνων τυγχάνει· ἐάνπερ μὴ ἐκκόψῃ ὁ ἡττηθεὶς τοῦ βλέμματος.
ΛE. Ὅταν οὖν ἄρχεται ὁ Δαίμων μορφοῦν τὸν πειρασμὸν, καὶ διαγράφειν ἐν τῇ διανοίᾳ σου κάλλος γυναικὸς, ἧς ποτε ἐθεάσω, ἤ τι τῶν ὁμοίων· ἄναγε εἰς μέσον σοι τὸν φόβον τοῦ Θεοῦ, καὶ μνήσθητι τοὺς ἐν τοῖς τάφοις καθεύδοντας. Ἀναλόγισαι τὴν ἡμέραν τῆς ἐξόδου σου, ὅταν μέλλῃ ἡ ψυχή σου χωρισθῆναι ἐκ τοῦ σώματος. Ἐννόησον τὴν φοβερὰν καὶ φρικώδη φωνὴν, ἣν ἀκούσουσιν οἱ τὸ δίκαιον
M. ἀμελήσαντες, καὶ τὰς ἐντολὰς τοῦ Χριστοῦ μὴ τηρήσαντες. Ἀποχωρεῖτε ἀπ' ἐμοῦ Ματθ. Ζ, κγ. Κε, μα.
οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, εἰς τὸ σκότος τὸ

Ματθ. Κε, ιγ. ἐξώτερον. Ἐπότισον τὸν συνάλλαγμα τὸν εἰρημένον, καὶ τὴν ἐκπληρωτικὴν θυ-
Μάρκ. Θ, μδ. σίαν, ἵνα ταῦτα συνεπιτάξωνται, καὶ μυηθῇς, καὶ διαλυθήσεται ἡ ἐπιθυμία τῆς ἡδονῆς ἐκ τῆς διανοίας σου, ὡς διαλύεται κηρὸς ἀπὸ προσώπου πυρός. Οὐ γὰρ παχύνειν ἀνακόπτειν τὸν φόβον τοῦ Θεοῦ. ὅτι γὰρ οὐκ ἀνθίσταται τῇ ἐπι-
ἴσ. ἀκολύτως. θυμίᾳ, ἀλλὰ ῥεμβεύεσθαι ἀκολάστως τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀποκαλύψει, πάντως ὅτε καὶ διανοίαν πρὸς τὰ πάθη ἐξέκλινε, καὶ εἰ μὴ δι' αἰσχύνην ἀνθρωπίνην, πολλάκις καὶ τὸ σῶμα διέφθειρεν. Ἐὰν οὖν μὴ νήψῃ ὁ τοιοῦτος, καὶ τὸν φόβον τοῦ Θεοῦ ἐπιστήσῃ πρὸ ὀφθαλμῶν αὐτοῦ, οὐ χρονιεῖ καὶ τὸ σῶμα διαφθεῖραι. Τούτῳ γὰρ τῷ Δαίμονι, τῷ ὑποβάλλοντι ῥεμβεύεσθαι τοὺς ὀφθαλμοὺς, ἕτερος Δαίμων παρακολουθεῖ ὁ φυσικῶς σαρκὶ κατεργαζόμενος τὴν ἁμαρτίαν. Ἐὰν γὰρ θεάσηται ὁ δεύτερος τὸν πρῶτον, ὅτι κατίσχυσε μετεωρῆσαι τὴν ψυχὴν πρὸς τὸ ῥεμβεύεσθαι, εὐθὺς ἄρχεται καὶ τὴν ἁμαρτίαν καὶ σαρκὶ κατεργάζεσθαι συμβουλεύειν. Ἄρχεται γὰρ τοιοῦτό τι ὑποβάλλειν, καὶ λέγειν πρὸς τὸν ἐπηρμένον τῷ ὄμματι. καὶ φησιν· ἰδοὺ τῇ προθέσει ἡμάρτες, καὶ τῇ καρδίᾳ ἐμοίχευσας. ἤδη καὶ τῆς ἐντολῆς ἐξέπεσας, καὶ ἡ ἁμαρτία τῆς παραβάσεως τῆς ἐντολῆς ἐγράφη σοι ἤδη. Νῦν οὖν ἐπιτέλεσόν σου τὴν ἐπιθυμίαν. Τὸ αὐτὸ γάρ ἐστι καὶ τὸ πρᾶξαι καὶ τὸ ἐνθυμεῖσθαι. ἀπόλαυε οὖν τῆς ἑαυτοῦ ἐπιθυμίας. Σὺ οὖν μὴ πεισθῇς ταῖς ἐπινοίαις
β Κορινθ. Β, ια. αὐτοῦ. τοῦ Ἀποστόλου λέγοντος· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Ἐν τούτοις γὰρ θηρεύειν τὴν ψυχήν σου βούλεται. Ἄκουε δὲ καὶ παραβολὴν περὶ τούτου. Νεανίσκος τις ἦν ἔν τινι χώρᾳ, καὶ ἡρμόσατο ἑαυτῷ τρεῖς παρθένους· καὶ ἀπεδήμησεν εἰς χώραν μακράν. χρονίσαντος δὲ αὐτοῦ, ἡ μία παρθένος εἰλήφει ἑαυτῇ ἄνδρα. ἡ δὲ δευτέρα καταλθοῦσα, πεπόρνευκε, καὶ ἔγκυος γέγονεν· ἡ δὲ ἄλλη παρθένος ἐν ἑαυτῇ εἶπεν· εἰ μὴ ὅτι τοὺς ἀνθρώπους αἰσχύνομαι, ἐπεὶ κἀγὼ εἰλήφειν ἐμαυτῇ ἄνδρα. Καὶ ἤρξατο ἡ παρθένος ἐν τοῖς τοιούτοις λογισμοῖς φαντάζεσθαι. καὶ μετὰ ταῦτα ἐμνήσθη, τοῦ ἐν ἀποδημίᾳ νεανίσκου, παρ' οὗ καὶ τὸν ἀρραβῶνα ἔλαβε, μετὰ καὶ τῶν λοιπῶν παρθένων. Καὶ μεταμεληθεῖσα ἔκλαυσεν, ὅτι κἂν ὅλως ἀνέβη ἐνθύμησις πονηρὰ ἐν τῇ καρδίᾳ αὐτῆς. Ὅταν οὖν παραγένηται ὁ νεανίσκος, ἐκ τῶν τριῶν παρθένων ποία εὐπρόσδεκτος αὐτῷ ἐστιν; Οὐχὶ ἡ ἑτέρα ἡ ἐνθυμηθεῖσα, καὶ μηδὲν πράξασα, ἀλλὰ καὶ μετανοήσασα ἐπὶ τῇ πονηρᾷ ἐνθυμήσει; Διὰ τοῦτο ἀναγκαῖον εἰπεῖν τῷ παραινοῦντι Δαίμονι ἐπὶ τῇ πράξει τῆς ἀνόμου ἁμαρτίας· ὅτι εἰ καὶ τοῖς ὀφθαλμοῖς παρέπεσον, καὶ τῇ καρδίᾳ ἐμοίχευσα, ἀλλ' οὖν τὴν καρδίαν τὴν μοιχεύσασαν στεναγμοῖς ἀλαλήτοις συντρίψω.
Ψαλμ. Να, ιζ. καὶ τὸν παραπεσόντα ὀφθαλμὸν δάκρυσιν ἀποπλυνῶ. ὅτι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΕΡΙ ΠΡΑΫΠΑΘΕΙΑΣ.

ΠΑΡΑΙΝΕΣΙΣ ΛΗ.

ΜΟΝΑΧΕ, οὕτω τῷ Χριστῷ ἐπηγγείλω ἀρέσαι, τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις, τὰς ἐπερχομένας σοι ἀπὸ τῶν ὑπεναντίων μὴ ὑποφέρειν γενναίως; οὐδὲ τὰς ὑπὸ τοῦ προεστῶτός σοι παιδείας καὶ νουθεσίας ὑποδεχόμενος;
Εβρ. Ιβ, η. Τοῦ Ἀποστόλου λέγοντος· εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες,

ἄρα νόθοι ἐστέ. Ἐδιώχθης δέ; χαῖρε ὅτι ἐδιώχθης. ἀλλὰ καὶ ἀδικήθησαν τὸ πλήρωμα.
Ἀδίκως ἐδιώχθης; μακάριος ὁ μισθός· καὶ γὰρ καὶ οἱ ἀπόστολοι τὴν σωτηρίαν
τῷ κόσμῳ καταγγέλλοντες, μετὰ ξύλων, ὡς κακοῦργοι, ὑπέμειναν καὶ οὐκ ἐσχί- Πράξ. ε, μα.
ζοντο, οὐκ ἠγανάκτουν· ἀλλ' ἔχαιρον, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος
E. αὐτοῦ ἀτιμασθῆναι. Καὶ σὺ οὖν χαῖρε ὅτι κατηξιώθης ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ
ἀτιμασθῆναι. Ἀλλ' ἴσως ἐρεῖς· προσθήκη ἁμαρτημάτων λυποῦμαι, ὅτι ταῦτά μοι
συμβέβηκε μετὰ τοσούτους καμάτους; Τί οὖν σε λυπεῖ, ἀδελφὲ τοῦ Κυρίου; Ἐντεῦθεν ἀλ. Χριστοῦ.
τοιγαροῦν ἐπίγνωθι σεαυτόν, καὶ ὅπως μετὰ τοσαῦτα ἔτη καὶ πόνον ἐνίκησας;
ἐχάρης ἐπελθούσης ἀτιμίας; καὶ ὡς ἐλυπήθης ἐπὶ δόξης φρονῶν; Εἰ γάρ
I. δοκεῖ τις εἶναί τι μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ. Ἡ γὰρ δοκιμὴ τοῦ καθαροῦ Γαλάτ. ς, γ.
ἐν καιρῷ τοῦ κινδύνου ἀποφαίνεται. Ὁ γὰρ μεγαλαυχῶν καὶ λέγων· ἔχω
τοσαῦτα ἔτη ἐν τῷ μοναχικῷ βίῳ, πῶς δὲ ἐργάσεται τοῦ ἐπαγγέλματος μὴ ἐνδε-
ξάμενος, μηδὲ ταύτης ... ἀναδεξάμενος, οὐδὲ ἀναφέρει τὴν ἐρ- ἴσ. ἀναδεξάμενος.
γασίαν, ὧν τὴν τέχνην ἔτη μεμάθηκε. Γεγήρακας ἐν τῷ σχήματι· ὡς ἔμ-
IE. πειρος τοῦ προσλαχόντος βίου τυγχάνων, τύπος γενοῦ τοῖς νέοις καὶ ἀσθενέσιν· εἰ
δὲ καὶ νεόφυτος τυγχάνεις, ὑποτάγηθι πρεσβυτέροις. Καὶ γὰρ οἱ τοῦ ἐπιγείου
βασιλέως στρατιῶται τοῖς ἐπηρμένοις καὶ ἐξάρχοις αὐτῶν ὑποτάσσονται· πόσῳ
μᾶλλον δεῖ ἡμᾶς ὑποτάσσεσθαι, οὐ μόνον διὰ φόβον, ἀλλὰ καὶ διὰ συνείδησιν; Ῥωμ. ιγ, ε.
Εἰ γὰρ ἐκεῖνοι οἱ κατὰ σάρκα στρατευόμενοι πᾶσαν σπουδὴν ἐνδείκνυνται, ὥστε θε-
K. ραπεύειν τοὺς ἐπιτεταγμένους ἑαυτῶν, πῶς σὺ καὶ αὐτὴν τὴν ζωὴν ἀπαρνησά-
μενος ἀπέχῃ ἀποσύρεσθαι ἀπὸ τοιούτων παθῶν, ἀφέλειαν καὶ ἀνυποταξίαν, καὶ τὴν
ἐν Χριστῷ παιδείαν ἀποστολόμενος; Καὶ σὺ μὲν ἐπαίνους καὶ δόξας τελείων ἀνα-
χωρητῶν ἀπαιτεῖς, σοῦ δὲ πόνους, δι' ὧν αἱ τιμαί, ἀποφεύγεις. Διατί τοι-
αύτην ἡσυχίαν καὶ πόνον διὰ μίαν ἡμέραν ἢ ὥραν ἀπολέσαι ἀνέχῃ; Ἐὰν
KE. σεαυτὸν ἀποκτείνῃς, τίς ὁ ἐλεῶν σε; Οὗτός σε ὁ ἔπαινος; αὕτη σε ἡ δοκιμή;
ἵνα μικρὰ συμβῇ σοι θλῖψις, καὶ τὸ σχῆμα καὶ τὸν βίον ἀπαρνῇ; καὶ ἐφοπλίζεις
κατὰ σὲ τὸν ἐχθρὸν διὰ τῆς οἰκείας ῥᾳθυμίας. Μή, ἀδελφέ, μὴ δῷς τόπον τοῖς
ἐχθροῖς, ἀλλ' ἀντίστα, καὶ πολέμησον, καὶ φεύξονται ἀπὸ σοῦ. Λογίζομαι γάρ,
ὅτι ὁ ἀναδεξάμενός σε τὴν προστασίαν, οὐ χαίρει ἐπὶ τῷ σῷ μώμῳ, ὡς λόγον
Λ. ὑπὲρ σοῦ διδοὺς τῷ Κυρίῳ. Χαρεῖ δὲ αὐτοῦ ὁ πόνος, ἐάν σε τέλειον παραστήσῃ τῷ
Κυρίῳ. Ἐλθὲ οὖν εἰς ἑαυτόν, ἀγαπητέ, καὶ ἀνάστρεψε εἰς τὴν ἀνάπαυσίν σου.
Ἔνδυσαι θώρακα πίστεως, καὶ περικεφαλαίαν σωτηρίας, ἀνάλαβε τὴν μάχαι- Ἡσ. Νθ, ιζ. α Θεσσαλ. Ε, η. Ἐφεσ. ς, ιδ, ιζ.
ραν τοῦ Πνεύματος τοῦ ἁγίου, ὅ ἐστι ῥῆμα Θεοῦ. Γίνου τύπος πραϋπαθείας τοῖς
ὁμοψύχοις ἀδελφοῖς. Θαυμασάτωσαν καὶ οἱ μείζονές σου ἐπὶ τῇ σῇ ὑπομονῇ.
ΛΕ. Χαιρέτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐνοικοῦν ἐν σοί, ἐπὶ τῇ σῇ ἀνδραγαθίᾳ.
Εἰ δὲ μικρὸν πειρασμὸν οὐ φέρεις, πῶς μέγαν βαστάσεις; καὶ εἰ παιδίου οὐ περι-
γίνῃ, τελείῳ ἀνδρὶ πῶς καταπαλαίσεις; καὶ εἰ λίθον οὐ βαστάζεις, *πῶς συγ- λείπει τινά.
κληρονομήσεις δόξαν ἐν τοῖς οὐρανοῖς, μετὰ τῶν λεγόντων· ταῦτα πάντα ἦλθεν Ψαλμ. ΜΓ, ιζ, κβ.
ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου. Καὶ
M. πάλιν· ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα Ῥωμ. Η, λς.
σφαγῆς. Ἐβουλόμην σιγᾶν, ἀγαπητέ, διὰ τὴν αἰσχύνην τοῦ προσώπου μου·
ἀλλ' ὁ πόνος τῆς καρδίας μου ἀναγκάζει με λαλεῖν. Ναί, ἀδελφὲ ἀγαπητέ,

[illegible] ὑπέμεινεν ὁ [illegible] Δεσπότης δι᾽ ἡμᾶς [illegible] ὑβρίσθη, [illegible] ὕπο [illegible] ἔχειν, [illegible] Ερραπίσθη, [illegible] στυρῷ [illegible] ὄξος μετὰ χολῆς ἐγεύσατο, λόγχῃ [illegible]

Ιωάν. Ζ, κ. Ηλ. Ι, κ. Ματθ. ΚΖ, [illegible] Κε, ξζ. Ιωάν. Ιθ, λδ.

Ταῦτα πάντα ὑπέμεινε [illegible] σωτηρίαν ἡμῶν. Οἴμοι, [illegible] ἁμαρτωλῷ [illegible] Τί [illegible] Ἰλάσθητί μοι [illegible] ὁ Θεός, [illegible] ὑπὲρ [illegible] Ἐν [illegible] ἐμοί, [illegible] Τοιγὰρ λόγοις [illegible] Ἀληθῶς [illegible] Ἀναστῶμεν [illegible] Κύριον, [illegible] Οὐκ ἀποβάλλεται Κύριος [illegible] ἀλλὰ [illegible] συνεργεῖ. Εἴπωμεν καὶ ἡμεῖς [illegible] Προφήτου [illegible] ψυχή μου [illegible] Κύριος [illegible] ψυχήν μου ἐκ θανάτου [illegible] εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων. [illegible] ἡμεῖς [illegible] τὸ εἰρημένον [illegible] ὁ υἱός μου [illegible] ἀπολωλώς, καὶ εὑρέθη. Ὅτι τῷ Θεῷ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ματθ. Κδ, ε. Ψαλ. Ρις, ζ, κ, θ. Λυκ. Ιε, κδ.

ΠΕΡΙ ΑΝΥΠΟΤΑΚΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ, ΚΑΙ ΦΟΒΟΥ ΘΕΟΥ, ΚΑΙ ΤΟΥ ΚΡΙΜΑΤΟΣ ΤΟΥ ΜΕΛΛΟΝΤΟΣ

ΠΑΡΑΙΝΕΣΙΣ ΛΘ.

Ἀγαπητέ, ἐὰν ἐλθὼν ἀδελφὸς [illegible] σε, [illegible] ἡμῶν, [illegible] τῇ συμβουλίᾳ ἡμῶν, [illegible] τοὺς δὲ ἀντιλέγοντας [illegible] Ἀντιστῶμεν [illegible] πολλάς. Δείξωμεν [illegible] ἐμπτύωμεν εἰς τοὺς [illegible] Ὑποτάξωμεν [illegible] ἐσόμεθα [illegible] Ἐλεγχόμενοι, μὴ [illegible] ἵνα μὴ φανῇ τὸ ψεῦδος ἡμῶν. Νουθετούμενοι δὲ, τὸν τῦφον [illegible] ἀπελθώμεν. Ἔστω ἡμῶν ἡ ἰσχὺς, νόμος τῆς δικαιοσύνης· [illegible] ἐλέγχεται. Σὺ [illegible] ἐν ὁδῷ μετ᾽ αὐτοῦ [illegible] καὶ [illegible] ὁ γὰρ μὴ [illegible] Ἀποκρίθητι δὲ [illegible] λέγοντι [illegible] ἔχω. Ἐκ τούτων* ἔφυγεν, καὶ πάλιν τοῖς αὐτοῖς* θέλεις δουλεύειν; Τί τὸ ὄφελος [illegible] ἢ ποίαν ὠφέλειαν καρπώσει ἐκ τούτων [illegible] ἐχωρίσθημεν [illegible] μοναχοὶ [illegible] ἐκ τοῦ κόσμου, καὶ [illegible] θέλεις [illegible] ψυχὰς ἀδελφῶν; Ἀκούσον [illegible] τῆς ἀληθείας, μὴ ὀργίζου [illegible] ὠφέλειαν. Οὐκ ἐπιγινώσκομεν ἃ ψάλλομεν; Οὐ ταῦτα ψάλλομεν, Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ᾽ ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός; Καὶ πάλιν λέγει, ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. Καὶ ἐν ἑτέρῳ Ψαλμῷ λέγει ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται· ἐξωλόθρευσας* πάντα

ἄλλ. ἔφυγεν. ἄλλ. θέλω. Ψαλμ. Α, α, β. Ψαλμ. Ογ, κζ. ἄλλ. πάντας τοὺς πορνεύοντας.

[illegible] ἀπὸ [illegible] τῷ Θεῷ, ἀγαθόν ἐστι. Καὶ
πάλιν λέγει· Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, Ψαλμ. Λϛ, κ.
ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον· οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατα- Νϛ, α.
τρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Λέγει δὲ καὶ ἐν ἑτέρῳ Ψαλμῷ· Τί * ἐγκαυχᾷ * ἄλλ. ἐγκαυχῶν.
E. ἐν κακίᾳ ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν; Καὶ ἐν ἑτέρῳ λέγει· Οὐ
κατῴκει ἐν μέσῳ τοῦ οἴκου μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατηύ-
θυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Πολλοὺς γὰρ ἀπώλεσεν ὁ λογισμὸς τῆς ὑψηλο-
φροσύνης, μακαρία ἡ ταπεινοφροσύνη. Γέγραπται γάρ, Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ Ρωμ. Ιϐ, ιϛ.
τοῖς ταπεινοῖς συναπαγόμενοι. [illegible] μάλιστα [illegible] και-
I. ρὸν [illegible] σε τὸ [illegible], τί ὄφελος σε συντελέσαι τὸν [illegible]. Ἢ
μᾶλλον [illegible] ἐπιχαρεῖς κατὰ τὸ τόπον τὸ λέγον· Καὶ γὰρ ὁ ἄνθρωπος ὁ ἐσθίων Ψαλμ. Μα, ι.
ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Τοιγαροῦν προφθάσωμεν εἰς τὰ καλλίω
ἑαυτῶν· κλαύσωμεν τὰς ἁμαρτίας ἡμῶν, ἵνα Θεὸν δυσωπήσωμεν, δι' οὗ καὶ
ἐξηλείφθημεν ἐκ τοῦ ματαίου κόσμου. Μήποτε ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος. Ψαλμ. Ν, κϐ.
IE. Ἐννοηθῶμεν τοῦτο σαφῶς, ὅτι οὐ χρόνιοι ἐσμὲν νῦν, ἀλλ' ἐν ἡμέρᾳ θανάτου
εἰς κριτήριον ἀπελευσόμεθα ἐντεῦθεν· μόνον τὰ ἔργα ἕκαστος κομιεῖται αὐτοῦ,
πρὸς ἃ ἔπραξεν, εἴτε φαῦλον, εἴτε ἀγαθόν. Ταῦτα μελέτα, ταῦτα φρόν- β Κορινθ. Ε, ι.
τιζε, ὅπως δυνηθῇς φυγεῖν ἀπὸ τῆς ὀργῆς. Οὐ δυνατὸν γὰρ ἐκφυγεῖν ἡ-
μᾶς τὰς χεῖρας τοῦ Κτίσαντος ἡμᾶς, κατὰ τὸν λέγοντα· Ποῦ πορευθῶ ἀπὸ τοῦ Ψαλμ. Ρλθ, ζ.
K. Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Μηδεὶς οὖν ἑαυτὸν ἐξ- α Κορινθ. Γ, ιη.
απατάτω. Τῷ γὰρ βήματι τοῦ Χριστοῦ δεῖ ἡμᾶς παραστῆναι, ἔνθα πάντα γυμνὰ Ἑβρ. Δ, ιγ.
καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. Ἔνθα παρεστήκασι χίλιαι χιλιά-
δες, καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων, καὶ πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν Ματθ. ΚΔ, κθ.
σαλευθήσονται. Καὶ ποῦ τότε ἡ ὑψηλοφροσύνη καὶ ἡ φυσίωσις; ποῦ τότε ἡ Μάρκ. Ιγ, κε. Λουκ. Κα, κϛ.
KE. μέθη καὶ ὁ θυμός; ποῦ τότε ἡ ἀσωτία, καὶ ἡ ἀπειλή, καὶ τὸ * [illegible] τὸ * ἄλ. [illegible]
μάταιον; Τίς ὑποφέρει τὴν φοβερὰν ἀπειλὴν τῶν ἀγγέλων τοῦ Θεοῦ; Ἐννο-
ηθῶμεν ὅτι οἱ τῷ Χριστῷ ὑπομείναντες ἐν τῷ νῦν αἰῶνι, αὐτοὶ ἡμᾶς κρινοῦσι·
καθὼς γέγραπται· Οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; Αὐτοὶ γὰρ α Κορινθ. ϛ, β.
οἱ ὁμοιοπαθεῖς ἡμῖν γενόμενοι ἄνθρωποι ἐνίκησαν, Θεὸν [illegible]· ἡμεῖς
Λ. δὲ τὸ πονηρὸν ποιοῦντες, Θεὸν παροργίζομεν. Ἀλλ' ἴσως ἐρεῖ τις τῶν ῥᾳθύμων
καί φησιν· Οἶδε Κύριος τὰς ἀσθενείας μου. Οἴμοι, οἴμοι, τίς μὴ κλαύσει
ἐπὶ τούτοις; ὅτι εἰς τὸ ἔργον τοῦ Κυρίου ἀσθένειαν προφασιζόμεθα· εἰς δὲ τὰς
μάχας, καὶ τὰς φρατρίας, καὶ εἰς τὸ ποιεῖν τὰ πονηρὰ δυνατοί ἐσμεν. Τοσ-
αυτὸν ἀπατᾷς νομίζων Θεὸν χλευάζειν. Μὴ σπεῖρε κακὰ καὶ οὐ μὴ θερί- Γαλάτ. ϛ, ζ.
ΛE. σῃς κακά. Ἄκουε τοῦ λέγοντος· Τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν; Ἰώβ, Θ, δ, ε. κατὰ τοὺς ο´.
ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν ὁ καταστρέφων αὐτὰ ὀργῇ. Ἢ μᾶλλον αἱ
καρδίαι ἡμῶν πεπάχυνται ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς,
ὅθεν τὴν ἑαυτῶν πώρωσιν οὐ δυνάμεθα γνῶναι. Ἀντὶ τοῦ ἀναλογίσασθαι γὰρ ἐκεῖνο
ἡμῶν, καὶ λέγειν τῇ ἑαυτοῦ ψυχῇ· [illegible], ἀλλὰ περιφερομένη
M. παντὶ ἀνέμῳ· καὶ ἵνα τί μοι [illegible] ἑτέραν ψυχὴν εἰς τὸ ἐμὲ [illegible]; Καὶ
οὐκ ἔδει μᾶλλον, καὶ σὺ ἐπιχειροῦντα [illegible] τῇ νηστείᾳ καὶ τῇ παρα-
κλήσει, ἵνα μὴ τῆς υἱοθεσίας ἐκπέσῃς; Γέγραπται γὰρ μακάριοι οἱ πενθο-

Ματθ. Ε, θ. παιδὲς, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Νῦν δὲ τί ποιήσω ὁ ἀμελής; τί [illegible]
λογίσωμαι ἐν ἡμέρᾳ κείνῃ, ἐμπροσθεν τοῦ βήματος τοῦ φοβεροῦ, ὑπὲρ τῆς
ἐμῆς ψυχῆς; [illegible] ὧν [illegible] ὁδὸν ἀληθείας; Ὁ [illegible]
καταλέλοιπε πατέρας καὶ μητέρας· ὁ δὲ γυναῖκα, καὶ τέκνα, καὶ φίλους, καὶ
ὑπάρξιν διὰ τὸν Χριστὸν ἐλπίδα, καὶ τὴν ἡσυχίαν [illegible]· ἐγὼ δὲ [illegible] Ε.
[illegible] Σὺ δὲ τὰ ἐναντία [illegible], καὶ
[illegible] κελλίῳ [illegible] ἄλλα [illegible] μοναχῶν, [illegible]
[illegible] ψυχὰς ἀδελφῶν, [illegible] ἀδελφοὺς ἀδελφοῖς, καὶ [illegible]
[illegible] αὐτοῖς καὶ [illegible] αὐτοῖς [illegible] λογισμῶν, καὶ [illegible]
[illegible] τῇ ἀδελφότητι. Διὰ τὸ σε δεδουλῶσθαι τῇ ἐπιθυμίᾳ τῇ κενῇ, [illegible] Ι.
[illegible] μεμαθηκώς. Τί ὠφελεῖται ἄνθρωπος ἐὰν [illegible] ἑαυτοῦ ζημίαν
τῆς ψυχῆς σου, κέρδος λογίζῃ; τί [illegible] σεαυτῷ ἀλλότρια κακά; Εἰ
μὴ [illegible] κοινοῦ [illegible] καὶ ἡσυχίας [illegible] ὁμολογῶ [illegible]
[illegible] ὅταν [illegible] τελείαν εἰς βάθος [illegible], τότε καὶ σὺ [illegible]
[illegible] ἐχθρὸς τῆς [illegible] οὐ γὰρ μὴ [illegible] βουλὴν [illegible] Ἀλλ' [illegible] ΙΕ.
Κύριος διασκεδάζει βουλὰς ἐθνῶν καὶ [illegible]· ἡ δὲ βουλὴ τοῦ Κυρίου μένει εἰς
τὸν αἰῶνα. Ἢ ἔτι μᾶλλον ὑπὸ τῆς σκληροκαρδίας ἡμῶν, καὶ τῇ [illegible] σώματος [illegible]
μεν [illegible]; [illegible] τὸ εἰρημένον ὅτι [illegible] ἐν πλήθει
ἰσχύος αὐτοῦ, καὶ [illegible] ὀλίγων; ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους
αὐτὸν, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Κ.
*Τί [illegible]; Ὁρᾷ γὰρ τοὺς [illegible] σε, φιλαρχίας [illegible]
Μὴ [illegible] ἐπὶ τῇ δόξῃ, ἀλλ' [illegible] εἰς τὸν [illegible] κίνδυνον.
δυνατοὶ γὰρ [illegible]. Εἰ γὰρ τῆς μιᾶς ψυχῆς ἧς ἐπίστευσεν ἡμῖν
ὁ Κύριος ἠμελήσαμεν, καὶ [illegible] αὐτὴν χέρσωσιν, ὡς ἄμπελον ἐν φραγμῷ
[illegible], καὶ πῶς [illegible] τοῦ [illegible] *ἐμπιστεύσει ἡμῖν τὴν ἐπιμέλειαν; ΚΒ.
ὁ γὰρ ἐν ὀλίγῳ πιστὸς, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄπιστος, καὶ ἐν
πολλῷ ἄπιστός ἐστι. Τοιγαροῦν [illegible] τῆς ψυχῆς ἧς [illegible]
[illegible] ἀπολογίαν ὅταν ἐξετάζει ὁ Κύριος τὸ [illegible]. Οὐκ ὀλίγος γὰρ
κίνδυνος [illegible] τὴν ἐπιμέλειαν τοῦ ποιμνίου, ἐὰν [illegible]
[illegible] τοῦ Ἀρχιποίμενος, καταχρήσηται τῇ ποίμνῃ. καθὼς [illegible] Λ.
δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται. Ἀναστῶμεν οὖν [illegible] τοῦ ἡμᾶς ἀπελ-
θεῖν, ὅπου [illegible] ὁ [illegible]. Ἐκεῖ ὀψόμεθα [illegible] πραεῖς καὶ ταπεινοὺς τῇ
καρδίᾳ, ἐν πολλῇ δόξῃ. καὶ ἡμεῖς οἱ ἀπειθεῖς ὄντες, ἐν [illegible]. Οὐδὲν γὰρ [illegible]
τὸ *Θεῷ ποιοῦμεν, οὐδὲν διὰ τὴν ἀγάπην αὐτοῦ, οὐδὲ μετὰ ταπεινοφροσύνης·
ἀλλὰ πάντα ἐν ὑπερηφανείᾳ, [illegible] δι' ἀνθρωπαρέσκειαν, καὶ ὀλέθριον κενο- ΛΕ.
δοξίαν. Πάντες ἐσμὲν ὑπερήφανοι, πάντες ὀργίλοι, καὶ θυμώδεις· ἀλλήλοις
γὰρ φθονοῦμεν, ἀλλήλοις [illegible]. Ταχὺ [illegible] ἡμᾶς οἱ
οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. Βοήθησον ἡμῖν, ὁ Θεὸς, Σω-
τὴρ ἡμῶν. [illegible] τοῦ λέγοντος· ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συν-
άγων μετ' ἐμοῦ, σκορπίζει. Ἢ ἐπελάθου τοῦ μυλικοῦ λίθου, τοῦ ὡρισμένου εἰς Μ.
τιμωρίαν [illegible] σκανδαλα. Μὴ [illegible], ἄνθρωπε [illegible]
γὰρ [illegible], ἄτερ φόβου Θεοῦ, καὶ ταπεινοφροσύνης μεγάλης. Αἱ γὰρ [illegible]

Marginal notes (left): Ματθ. Ε, θ. — ζημ. ψυχῆς. — Ψαλμ. Λγ, ι, ια, ις, ιη, ιθ. — ἀλλ. μὴ ἀπων. — Σοφ. Σαλ. ς, ς. — ἀλλ. τὴν ἐπιμέλειαν ἡμῖν παρέξει; Λυκ. Ις, ι. — Σοφ. Σαλ. ς, ς. — ἄλλως, Κύριον. — Ψαλμ. Οθ, η. — Ματθ. Ιϛ. λ. — Λυκ. Ια, κγ. — Μάρκ. Θ, μα. — Ματθ. Ιη, ς. — Λυκ. Ιζ, α, β.

τίστοι [illegible] Ἐγρηγόρει γάρ [illegible]
ἑαυτῷ [illegible]
κλινην [illegible]
ὅπως [illegible] Κυρίῳ [illegible]
E. ποιῶν [illegible]
[illegible]
Πολλοὶ γὰρ [illegible]
εἰσιν [illegible]
εἰσι δὲ [illegible] Κυρίῳ [illegible]
I. ὄντως [illegible] Ἐπειδὴ [illegible] ὁ Πλούσιος [illegible]
[illegible]
[illegible] αὐτὸν [illegible] Ὁ δὲ Λά-
ζαρος, ὁ [illegible] Πλούσιον [illegible]
[illegible]
IE. [illegible]
ἐπεθύμει [illegible] Πλουσίου [illegible]
ἀλλ' [illegible] Πλούσιος [illegible]
κύνες [illegible] ὁ Πλούσιος [illegible]
αἰῶνος [illegible]
K. [illegible] Ἀλλ' [illegible] ἄγγελοι [illegible]
[illegible] Πλούσιος,
ὑπὸ τῶν ἀγγέλων, [illegible] Ἀβραὰμ [illegible] Πλούσιος [illegible]
[illegible]
βασάνοις, [illegible] Ἀβραὰμ [illegible] Λάζαρον [illegible]
KE. καὶ αὐτὸς [illegible] Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον
ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν
μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ αὐτῷ Ἀβραάμ· Τέκνον,
μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ
κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις
Λ. μεταξὺ [illegible] χάσμα μέγα ἐστήρικται, ὅπως [illegible]
ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ [illegible]
Εἶπε δέ· [illegible] Πάτερ, [illegible]
μου· ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ
ἔλθωσιν εἰς τὸν τόπον [illegible] Λέγει δὲ ὁ Ἀβραάμ· Ἔχουσι Μωσέα καὶ τοὺς προ-
ΛE. φήτας, ἀκουσάτωσαν αὐτῶν. [illegible]
[illegible] Μωσέως [illegible]
[illegible]
[illegible]
[illegible]
M. [illegible]
[illegible]
[illegible]

Ἰακ. Ε, ε. τιμωρηθέντων, ὅ, τι χείρω τούτων, ἄξιοί ἐστε τιμωρεῖσθαι· ὑμεῖς γὰρ ἐν ταῖς ζωαῖς ἐτρυφήσατε, ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς. Ποῦ εἰσιν αἱ ἀπολαύσεις τοῦ παρελθόντος χρόνου; Ποῦ ἡ ἀπάτη αὕτη, καὶ ὁ γέλως;

Σοφ. Σαλ. Ε, θ, ιδ. Οὐκ ἰδοὺ ἐκεῖνα παρῆλθεν, ὡς σκιά, ὡς * ὁμίχλη ὑπὸ λαίλαπος διωχθεῖσα

ἀλλ. πάχνη. λεπτή, καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη; Νῦν οὖν, ὡς ἐπεθυμήσατε, ἀπολαύσατε. Οὐ γὰρ ἠρκέσθητε ἐπὶ τούτοις ὅτι οὐ μόνον εἰς βόθρον κακῶν ἑαυτοὺς ἐρρίψατε, ἀλλὰ καὶ ἑτέρους εἱλκύσατε σὺν ὑμῖν· καὶ οὐκ ἠρκέσθητε ἐπὶ τούτῳ, ὅτι τῆς ἰδίας ψυχῆς ἠμελήσατε, ἀλλὰ καὶ ἑτέρων ψυχῶν διεστρέψατε. Ποία οὖν

ἄλλως, ἡμῶν. ἀρετή, ποία δὲ ἐντολὴ δυσωπήσει τὸν Θεὸν ὑπὲρ * ὑμῶν; Αἱ γὰρ ψυχαὶ ὑμῶν ἐμπεπλησμέναι ὑπῆρχον ζήλου πικροῦ, καὶ ἐριθείας, καὶ φθόνου, καὶ πάσης κακίας καὶ θυμῶν θηρίων ἀνημέρων ἠγαπήσατε. νυνὶ δὲ ἐγκατέλιπον ὑμᾶς πάντα τὰ κακὰ, ἃ κατειργάσασθε ἐν τῷ παρελθόντι χρόνῳ. Τοῦ Θεοῦ λαλοῦντος ὑμῖν, διὰ τῶν ἁγίων Γραφῶν, κατεφρονήσατε, ἠμελήσατε, ἐμετεωρίσθητε. Καὶ δὴ τοῦ ἀγαθοῦ Θεοῦ ἡ πρὸς ἡμᾶς μακροθυμία, τουτέστι καὶ ὑμῶν οἱ ἁμαρτίαι ἐπλεόνα-

α Ἰωάν. Β, ιε. ζον. Τοῦ Κυρίου εἰπόντος, Μὴ ἀγαπᾶτε τὸν κόσμον, ὑμεῖς περὶ δόξης καὶ φιλαργυρίας ἐμάχεσθε. Τοῦ Κυρίου εἰπόντος, Μακάριοι οἱ πενθοῦντες νῦν, ὅτι

Ματθ. Ε, γ, δ. αὐτοὶ παρακληθήσονται· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· ὑμεῖς ὑπερήφανοι, ἔτι καὶ ἀλαζόνες γεγόνατε, καὶ τῷ γέ-

Ε, ε. λωτι, καὶ τῇ ἀπάτῃ ἐξεδώκατε ἑαυτούς. Τοῦ Κυρίου εἰπόντος, Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· ὑμεῖς ἄγριοι καὶ ἀνήμεροι γεγόνατε.

Ε, ς. Τοῦ Κυρίου εἰπόντος, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται· ὑμεῖς τὴν δικαιοσύνην ἐμισήσατε, καὶ τοὺς ἐργαζομένους

Ε, ζ. αὐτὴν ἐδιώξατε. Τοῦ Κυρίου εἰπόντος, Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· ὑμεῖς ἀνελεῶς καὶ ἀσυμπαθῶς πρὸς τοὺς ὁμοιοπαθεῖς ὑμῖν ἀνθρώπους

Ε, η. ἀνεστράφητε. Τοῦ Κυρίου εἰπόντος, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· ὑμῶν αἱ καρδίαι πλεονεξίαις καὶ ἐπιθυμίαις κακαῖς ἐμπε-

Ε, ι. πλησμέναι. Τοῦ Κυρίου εἰπόντος, Μακάριοι οἱ δεδιωγμένοι ἕνεκα δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· ὑμεῖς καὶ τοὺς δικαίους ἐκακώσατε, καὶ τὴν ἀλήθειαν οὐκ ἐφυλάξατε. Νῦν οὖν τί βοᾶτε; Ὁ γὰρ καιρὸς τῆς μετανοίας παρῆλθεν. Ὧδε ἡ ἀνταπόδοσις ὑπάρχει. Νῦν οἱ δίκαιοι ἐξεφανώθησαν· ὑμεῖς δὲ οἱ ἁμαρτωλοὶ εἰς τὸ σκότος τὸ ἐξώτερον παρεδόθητε. Νῦν οἱ δίκαιοι, μετὰ ἀγγέλων, τὸν Θεὸν ὑμνοῦσιν· ὑμεῖς δὲ οἱ ἁμαρτωλοὶ κλαίετε ἀπὸ βασάνων, καὶ βρύχετε τοὺς ὀδόντας μεταμελόμενοι, ὅτι τὸν χρόνον τῆς μετανοίας ὑμῶν ἀπωλέσατε ἐν ἀμελείᾳ. Οὐχ ὑμεῖς ἐστε οἱ ἀφορίσαντες ἑαυτοὺς ἀπὸ τῶν δικαίων, καὶ ζηλώσαντες τὰ ἔργα τῶν ἁμαρτωλῶν; Νυνὶ δὲ καὶ αὐτοὶ, καὶ ὑμεῖς, παρεδόθητε εἰς κόλασιν. Στενάξαι οὖν ἐστι τὰς βασάνους, καὶ τὰς ἐπερχομένας τὰς ἀμφοτέροις τιμωρίας. Τότε καὶ ἡμεῖς, μέγα στενάξαντες, ἀνακράξωμεν μετὰ

Ταβὶτ, Γ, β. πικροῦ κλαυθμοῦ, λέγοντες· δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου. Ὅτι γὰρ ἦμεν ἐν τῷ παρελθόντι αἰῶνι, ἐφανέρωσας ἡμῖν ταῦτα διὰ τῶν ἁγίων Γραφῶν, καὶ οὐκ ἐπιστεύομεν, ἀλλ' ἐδίσταξεν ἡμῶν ἡ καρδία· νυνὶ δὲ ἐναργῶς βλέπομεν πάντα τοῖς ὀφθαλμοῖς. Οὐαὶ ἡμῖν, ὅτι ἀπωλέσαμεν τὰς ἡμέρας ἡμῶν ἐν ἀμελείᾳ πολλῇ. Ταῦτα οὖν προγινώσκοντες, ἀγαπητοὶ ἀδελφοί,

σπουδάσωμεν ἐκφυγεῖν ἐξ ἐκείνης τῆς αἰσχύνης [illegible], ὅπως ἀξιωθῶμεν τῆς * χαρᾶς τῶν δικαίων. Ἕως πότε ταῖς ἐπιθυμίαις [illegible] ἀνθρώπους; Ἕως πότε [illegible] τὸν καιρὸν εἰς τὰς ματαίας ἡδονὰς τοῦ αἰῶνος τούτου; * Ἀνανεωσώμεθα λοιπὸν, ἐπιστρέψωμεν, ὡς [illegible] οἴνου, ἐκ τῆς

E. μνήμης τῶν ματαίων βίου. Ἄνω σχῶμεν τὸν νοῦν καὶ τὴν καρδίαν, ὅπου τὰ καλὰ [illegible] ὅπου ἡ ὄντως ζωὴ, καὶ τὸ φῶς τὸ ἀληθινόν. Μισήσωμεν τὸν κόσμον, καὶ τὰ ἐν κόσμῳ. Καταφρονήσωμεν τῶν φθειρομένων, διὰ τὰ ἄφθαρτα τὰ [illegible], διὰ τὰ οὐράνια. Ἀγαπήσωμεν τὸν Κύριον τὸν ποιήσαντα ἡμᾶς, ἐν ὅλῃ δυνάμει, τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Δεσπότην. Ἀγαπήσωμεν ἀλλήλους, διὰ τὸν

I. Κύριον. Ὅρα γὰρ τί [illegible] Δεσπότης φιλανθρωπίας [illegible] πρὸς τοὺς ἑαυτοῦ μαθητάς· ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. Οὐκ εἴρηκεν, ἐὰν [illegible] μοι [illegible] τρόπους, ἀλλ' εἴρηκεν, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Τηρήσωμεν [illegible] ἀγάπην, ἀδελφοί, [illegible] τὴν ἡσυχίαν, τὴν ταπεινοφροσύνην, καὶ [illegible]. Μισήσωμεν τὴν [illegible]

IE. [illegible] [illegible] [illegible] [illegible] Κύριος [illegible] [illegible] [illegible] [illegible]

K. μου [illegible] λόγους. Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ ἔχων ἐξουσίαν ζωῆς καὶ θανάτου, φυλάξει * ὑμᾶς [illegible] τοῦ δουλεύειν αὐτῷ [illegible], πάσας τὰς ἡμέρας * ὑμῶν, [illegible] ἐνώπιον αὐτοῦ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Μνήσθητε κἀμοῦ [illegible] προσευχῶν ὑμῶν [illegible], ὅπως [illegible] καὶ ἐπ' ἐμοὶ τὸ ἀνάξιον

KE. πάντων Δεσπότης. Ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΕΡΙ ΕΥΛΑΒΕΙΑΣ ΠΑΡΑΙΝΕΣΙΣ Μ.

ΑΓΑΠΗΤΕ, [illegible] σφοδρῶς, μὴ ἀπολέσῃς τὴν εὐθεῖαν ὁδὸν, καὶ

Λ. πορευθήσῃ ἐν ὁδοῖς σκότους· μήποτε [illegible] τὰ πλαστά [illegible] καὶ [illegible] Θεὸν καὶ ἀνθρώπους [illegible]. [illegible], φησὶν, οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους, καὶ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ· ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δικαίας

ΛE. γνώμης. Διὰ [illegible] [illegible] ἐκ τῆς [illegible] ζωῆς. Εἰ [illegible] ἐπορεύθησαν τρίβους ἀγαθάς, εὕροσαν τρίβους * δικαιοσύνης λείους. [illegible] ἔσονται οἰκήτορες γῆς, * ἄκακοι δὲ [illegible] ἐν αὐτῇ. Ὁδοὶ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, οἱ δὲ παράνομοι [illegible] ἀπ' αὐτῆς. Ἀνέχου οὖν βαδίζειν ἐν τῇ εὐθείᾳ ὁδῷ, [illegible] λέγοντα· μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς τὰ ἀρι-

M. στερά. Ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς· ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Κύριος· [illegible] εἰσιν αἱ ἐξ ἀριστερῶν. Τὸν Θεὸν φοβοῦ, καὶ ὁ φόβος αὐτοῦ συμπέσεταί σοι. Τήρησον τὰς ἐντολὰς αὐτοῦ, καὶ [illegible] αὐτοῦ

ἄλλ. χάριτος.

ἄλλ. μετανοήσωμεν. ἔτι δὲ ἀνανεώσωμεν.
† ἄλλ. ὕπνου.

Ἰωάν. Ιγ. λε.

Ψαλμ. [illegible]

ἄλλ. ἡμῶν.
ἄλλ. ἡμῶν.

Ματθ. [illegible]

Παροιμ. [illegible]

ἄλλως, [illegible]
ἄλλ. ἅγιοι.

Παροιμ. Δ. κζ.

[illegible]

ὀνειδίσουσί σε ἐν αὐτῇ. Αὐθάδης γὰρ, ἢ λοιμότης, ἢ βασκανία ἢ περιφρόνησις,
ἢ τὰ ὅμοια τούτων, μηδὲ αὐλιζέσθωσαν κόλπῳ σου, μηδὲ λῃμαργία, ἢ αἰσχρότης,
ἢ μωρολογία, ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκε. Πᾶς γὰρ ὁ ἐν τούτοις ἀναστρεφόμενος
τὴν ὁδὸν τῆς ἀληθείας πεπλάνηται, συντελέσας ἑαυτὸν ἐν ταῖς ἀνοδίαις. Ὁ
δὲ ἀναστρεφόμενος ἐν τῇ ὁδῷ εὐθείᾳ, προσάξει αὐτὸν εἰς τὴν μονήν. Μὴ Ε
οὖν ἀπολέσῃς τὴν ἀνυπόκριτον εὐλάβειαν, ἀγαπητὲ ἀδελφέ. Εὐλάβεια
δὲ ἐστιν, ἀπέχεσθαι ἀπὸ παντὸς εἴδους πονηροῦ. Εἰ δὲ συμβῇ ἡμᾶς ὀνειδίζεσθαι
περὶ ἀγαθοῦ ἔργου, μὴ ἐντραπῶμεν τὸν ὀνειδισμὸν τὸν ὑπὸ τῶν ἀνθρώπων ἀδί-
κως ἡμῖν * ἐπαγόμενον, καὶ πράξωμεν ἃ μὴ δεῖ. Γέγραπται γάρ· λαός μου,
οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ Ι
φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. ὥσπερ ἱμάτιον παλαιωθήσεται ὑπὸ χρόνου,
καὶ ὥσπερ ἔριον βρωθήσεται ὑπὸ σητός· ἡ δὲ δικαιοσύνη σου εἰς τὸν αἰῶνα μένει,
καὶ τὸ σωτήριόν σου εἰς γενεὰς γενεῶν. Καὶ πάλιν λέγει· ἐγὼ δὲ οὐκ ἀπειθῶ,
οὐδὲ ἀντιλέγω, τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, καὶ τὰς σιαγόνας μου εἰς
ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμά- ΙΕ
των. Καὶ Κύριος ἐγενήθη βοηθός μου. διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα
τὸ πρόσωπόν μου, ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ. Διόπερ καὶ
δέξῃ παρ' αὐτοῦ * κεκρασέναι τὴν ἀρχήν, μὴ δειλιάσωμεν, μηδὲ ἐγκαταλείπω-
μεν εὐθεῖαν ὁδόν. Κατὰ τὸν λέγοντα· ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή,
οὐ φοβηθήσεται ἡ καρδία μου. Καὶ πάλιν λέγει· ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ Κ
καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. Καὶ, μὴ ζήλου δόξαν ἁμαρ-
τωλοῦ, οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ. Κρεῖσσον γὰρ πάντα κατὰ Θεὸν
πράττειν, καὶ ἐπαγγέλλεσθαι ἐν Κυρίῳ, ἢ ἀναστρέφεσθαι κακῶς, καὶ ἔχειν αἰσχρὰν φή-
μην. Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· οὕτω λαμψάτω τὸ
φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξά- ΚΑ
σωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ οὖν ἐκκλίνῃς εἰς τὰς ἀνοδίας
ἀπὸ ὁδοῦ εὐθείας, μήποτε * περικυκλώσωσί σε θηρίων ἀγρίων πλῆθος, μή-
ποτε * συνοχὴ ὑδάτων πολλῶν. καὶ τότε μεταμεληθήσῃ * ὀδυνώμενος. Τίς
γὰρ ὀδυνᾶται; Οὐχὶ ἐν τῷ κακῷ παρέχει; Ὁ Θεὸς γὰρ φιλάνθρωπος καὶ
ἀγαθὸς ὑπάρχων, κακὸν οὐ βούλεται τῷ πλάσματι αὐτοῦ. Κατὰ τὸν λέγοντα· Λ
οὐ γὰρ τέρπεται ἐπ' ἀπωλείᾳ τῶν ζώντων. δικαιοσύνη γὰρ ἀθάνατός ἐστι. Καὶ
ἐν ἑτέρῳ λέγει· μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ τοῦ Θεοῦ πειράζομαι·
ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. ἕκαστος δὲ πει-
ράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ
ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει ΛΒ
θάνατον. Ἐπιθυμία, μήτηρ ἁμαρτίας. Αὕτη ἐξέβαλεν Εὔαν ἐκ τοῦ παρα-
δείσου. Αὕτη τὸν Κάϊν ἀδελφοκτόνον ἀπετέλεσεν. Αὕτη ἐποίησε τὴν Αἰγυπτίαν μα-
νῆναι κατὰ τοῦ σώφρονος Ἰωσήφ. ὁ δὲ Νέος τὸν Θεὸν φοβούμενος, ταύτην * κατεπά-
λαισεν. Αὕτη κατέστρωσε τὸν λαὸν ἐν τῇ ἐρήμῳ. Αὕτη καθεῖλεν ἔθνη ἑπτὰ ἐν γῇ
Χαναάν, δι' ἧς καὶ παρώξυναν τὸν ποιήσαντα αὐτούς, ὅθεν ἐξωλοθρεύθησαν. Αὕτη Μ
ἐξέκλινε τὰς καρδίας τῶν υἱῶν Ἰσραὴλ ἀπὸ Κυρίου. καθὼς γέγραπται· ἵπποι
θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν.

Margin notes:
ἴσως, λοιμώδης.
Ἐφεσ. Ε, δ.
α Θεσ. Ε, κϐ.
ἄλλ. ἐπαγομέναν.
Ησ. Να, ζ, η.
Ησ. Ν, ϛ, ϛ, ζ.
ἴσως, κεκρατηκέναι.
Ψαλμ. Κζ, γ. Λα, κδ. Λζ, α.
Παροιμ. Γ, λα. Δ, ιδ.
Ματθ. Ε, ιϛ.
ἄλλ. περικυκλῶσι.
ἴσως, σύγχυσις. ἢ, συναγωγή.
ἴσ. ὀδυνώμενος.
Σοφ. Σολ. Α, ιγ, ιε.
Ιακ. Α, ιγ, ιδ, ιε.
Γένεσ. Γ, κγ. Δ, η. Λθ, ζ, θ.
ἴσ. κατέβαλε.
Πράξ. Ιγ, ιε, ιθ.
Ψαλμ. Ϛε, ι.
Ιησ. Ιδ, ιδ.
Ιερεμ. Ε, η.
Ιεζεκ. Κϐ, ια.

Αὕτη ἐπλάνησε τοὺς κριτὰς τοῦ λαοῦ ἐν Βαβυλῶνι. Ἐπιθυμία, κακὴ μήτηρ ἁμαρτίας. Αὕτη ἐξήγειρε πολέμους καὶ ταραχὰς ἐπὶ τῆς γῆς. Αὕτη κατορχή-σασα τῇ Ἡρωδιάδι, ἀπέτεμε τὴν κεφαλὴν τοῦ Βαπτιστοῦ. Ταύτην φιλήσας Ἰούδας παρέδωκε τὸν Κύριον τῆς δόξης εἰς χεῖρας ἀνόμων· χρυσὸν ποθήσας, ζωὴν Σουσ. ε. Ιωα. Δ, κ. Ματθ. ιδ, ι. Μάρκ. ς, κζ. Λκ, μζ.

E. ἀπώλεσε. Διὸ φεύγωμεν πᾶσαν ἐπιθυμίαν κακίαν, ἀγαπητοὶ ἀδελφοί. Ταύτην ἀποσπώμεθα ἀπὸ καρδίας ἡμῶν. μὴ φεισώμεθα αὐτῆς. οὐ γάρ ἐστι καρπίμον ἀλλ᾽ ἔστι βλάστημα Διαβόλου. Οὐκ ἔστι τραῦμα, οὐδὲ μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα· οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδεσμούς. τραῦμα ἐστι ψυχῆς, καὶ πληγὴ καρδίας. Αὕτη ἡμᾶς ἀποκόπτει ἐκ τῆς

I. τῶν ἁγίων συνοδίας. Αὕτη ἡμᾶς καταβάλλει ἐκ τῶν οὐρανῶν, καὶ εἰς γέενναν συνδεσμεύει. Δένδρον ἐστὶ φύλλα ἔχον, καρπὸν δὲ μηδ᾽ ὅλως. Φύλλα ἔχει, καὶ δασεῖ, καὶ ἐν τοῖς δασέσιν αὐτοῦ, γεννήματα ἐχιδνῶν. Ἔκκοψον τὸ δένδρον τῆς κακίας, καὶ φύτευσον ἀντ᾽ αὐτοῦ, ἐν τῇ ψυχῇ σου, δένδρον ζωῆς, τὸν τίμιον σταυρὸν, τὰς ἐλπίδας τοῦ Σωτῆρος, τὰ παθήματα τοῦ θανάτου αὐτοῦ. Ἡ ἀγάπη αὐτοῦ

IE. ἔστω ἐν τῇ καρδίᾳ σου, ὥσπερ σκόπελος προκείμενος ἐν θαλάσσῃ, προσκαλούμενος τὰ ἐν πελάγει χειμαζόμενα πλοῖα εἰς λιμένα ζωῆς. Ἀγώνιζε, ὡς καλὸς στρατιώτης, ἵνα ἐπιτύχῃς τοῦ στεφάνου. Ἄκουε τοῦ λέγοντος· εὐλαβεῖς ποιήσατε τοὺς υἱοὺς Ἰσραήλ. Ὅταν νομίμως ἀγωνίσῃ, τότε ἐπιγνώσῃ ἀσφαλῶς καὶ τὰς δωρεὰς τοῦ Βασιλέως. τότε ἐπιγνώσῃ, ὅτι καλὸν καὶ ὠφέλιμον καὶ Λευϊτ. ιε, λα.

K. ἀγαθὸν τὸ ἐπιγνῶναι, καὶ τὸν Κύριον ἀσπάζεσθαι, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρεῖν. τότε αἰσθήσῃ τοὺς πόνους, ὡς οἱ ὄνειροι παρελθόντας, τῇ ὧδε ἀνταποδόσει. Ὥσπερ διάδημα ἐπὶ κεφαλὴν βασιλέως καθήμενον ἐπὶ βασιλείας αὐτοῦ, οὕτως γίνεταί σοι χαρὰ καὶ ἀγαλλίασις. καὶ τὴν χαράν σου οὐδεὶς αἴρει ἀπὸ σοῦ. Δῴη δὲ ἡμῖν ὁ Κύριος εὑρεῖν ἔλεος ἐνώπιον τῆς ἀγαθότητος αὐτοῦ, καὶ ἐν τῷ νῦν αἰῶνι,

KE. καὶ ἐν τῷ μέλλοντι. ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

*ΠΕΡΙ ΤΩΝ †ΕΚΠΙΠΤΟΝΤΩΝ ΕΞ ΟΙΚΕΙΑΣ ΑΜΕΛΕΙΑΣ, ΚΑΙ ΠΡΟΦΑΣΙΖΟΜΕΝΩΝ ΠΡΟΦΑΣΕΙΣ ΕΝ ΑΜΑΡΤΙΑΙΣ.

* ἄλλ. πρὸς μοναχὸν ἀμελοῦντα. † ἄλλ. ἐκπεσόντων.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΑ.

Λ. ΑΔΕΛΦΗΕ, τὸν μονήρη βίον ἐπεθύμησας· καλοῦ ἔργου ὀρέγῃ, ἐὰν φυλάξῃς εἰς τέλος. Νῆφε οὖν, καὶ πρόσεχε σεαυτῷ, ὡς σοφὸς, καὶ μὴ ὡς ἄσοφος· ὡς μοναχὸς, καὶ μὴ ὡς ἀμόναχος. οὐ γάρ ἐστιν ἡ πάλη ἡμῖν πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπου- Εφεσ. ς, ιβ.

ΛE. ρανίοις. Νῆφε οὖν ἄχρι τέλους, μήποτε πληγέντος σου ἐκ τῆς οἰκείας ἀμελείας καὶ ἀπροσεξίας, εἴπῃς ἐν ἀφροσύνῃ καὶ εἰς τὸ μοναχὸν ἦλθον, καὶ οὐδὲ ἐκεῖ εὗρον ὁδὸν σωτηρίας. Τί οὖν, ἀδελφὲ, ἀγνοοῦμεν τὴν χάριν τοῦ Κυρίου; Διατί δὲ καὶ διαβουλεύεις τὸν μονήρη βίον, σὺ μὴ βουληθέντος ὠφεληθῆναι, μηδὲ ποιήσας περὶ τῆς ψυχῆς σου; ἀλλὰ συναρπαχθεὶς μᾶλλον ταῖς ἐπιθυμίαις σου καὶ ἡδοναῖς

M. λογισμῶν, καὶ αἰτιάσῃ ἔτι τὸν μονήρη βίον; Εἰ γὰρ ἐφύλαξας τὰς ἐντολὰς τοῦ Κυρίου, οὐκ ἂν ἔπεσες· καὶ τὸν φόβον τοῦ Θεοῦ εἰ ἠγάπησας, διετήρει τὴν ψυχήν σου. Πρῶτον μὲν τὸν κανόνα τοῦ μοναδικοῦ βίου οὐκ ἐφύλαξας, τὰς

συνάξεώς σου ἠμέλησας, πλαγίους περιβλέψεις ἠγάπησας. τὸ μελετᾶν σου
ἐξουδένωσας, ἐγκράτειαν οὐκ ἠγάπησας, τὸν δὲ μαρασμὸν μᾶλλον ἠγάπησας. ἀγρυ-
πνίαν οὐκ ἠγάπησας, τὸν δὲ ἀκόρεστον ὕπνον ἠγάπησας. τὴν ἁγνείαν οὐκ ἠγάπησας,
σεμνότητα καὶ ταπεινοφροσύνην οὐκ ἠγάπησας, ὑπερηφάνειαν δὲ μᾶλλον ἠγάπη-
σας. Τὴν ὑπακοὴν οὐκ ἠγάπησας, τὴν δὲ [illegible] μᾶλλον ἠγάπησας. θυμὸν Ε.
καὶ ὀργὴν οὐκ ἐμίσησας, ἔχθραν δὲ καὶ μνησικακίαν μᾶλλον ἠγάπησας. ἡσυχίαν
καὶ προσευχὴν οὐκ ἠγάπησας, κραυγὴν δὲ καὶ ἔριν μᾶλλον ἠγάπησας. τὴν σεμνό-
τητα καὶ αἰδῶ οὐκ ἐφύλαξας, αἰσχρολογίαν δὲ μετὰ γελοιασμῶν μᾶλλον ἠγά-
πησας. σιωπὴν καὶ εὐθύτητα οὐκ ἠγάπησας, πολυλογίαν δὲ καὶ καταλαλιὰν
μᾶλλον ἠγάπησας. ἑστάναι ἐν προσευχῇ μετὰ κατανύξεως οὐκ ἠγάπησας, ῥέμ- Ι.
βεσθαι δὲ μᾶλλον ἠγάπησας. ἀκτημοσύνην οὐκ ἠγάπησας, φιλαργυρίαν δὲ μᾶλ-
λον ἠγάπησας. τὴν ἄσκησιν καὶ φιλοπονίαν οὐκ ἠγάπησας, [illegible] δὲ καὶ σπατά-
λην μᾶλλον ἠγάπησας. ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν οὐκ ἠγάπησας, ἀναπαύεσθαι
δὲ μᾶλλον ἠγάπησας. φιλαδελφίαν οὐκ ἠγάπησας, χαίρειν δὲ ἐπὶ διαφορᾷ
κακῇ μᾶλλον ἠγάπησας. συμπαθεῖν θλιβομένοις οὐκ ἠγάπησας, σκληρὸς δὲ ΙΕ.
καὶ ἀσυμπαθὴς εἶναι μᾶλλον ἠγάπησας. θλῖψιν καὶ ὀνειδισμοὺς ὑπομένειν διὰ
τὸν Κύριον οὐκ ἠγάπησας, περιεργίαν δὲ καὶ ἐπαίνους ματαίους μᾶλλον ἠγά-
πησας. τὸν φόβον Θεοῦ καὶ τὴν ἀγάπην αὐτοῦ οὐκ ἐφύλαξας, τὴν δὲ ἀφοβίαν καὶ
τὴν μισαδελφίαν μᾶλλον ἠγάπησας. Καὶ τί ἔτι λέγω; Τὰ ὠφέλιμα ἐμίσησας,
καὶ τὰ ἐναντία ἠγάπησας, καὶ ἔτι τὸν μονήρη βίον αἰτιᾶσαι; Οὐκ οἶδας ὅτι γέ- Κ.
Ψαλμ. Ε, ς. γραπται, Ἀπολεῖ Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. καὶ πάλιν. καὶ μὴ
Οτ, ε. λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν, ὅτι ὁ Θεὸς κριτής ἐστιν. Ὁρᾷς, ἀδελφὲ, ὅτι ἡ
Ν, ς. αἰτία ἐξ ἡμῶν ἐστι, καὶ οὐκ ἐξ ἑτέρων; Ἐλθὲ οὖν εἰς ἑαυτὸν, καὶ ἐπίστρεψον ἐπὶ
Ιεζεκ. Ιη, λβ. τὸν Κύριον ἐν ὅλῃ καρδίᾳ· οὐ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ
Λγ, ια. ἐπιστρέψαι καὶ ζῆν αὐτόν. θέλει γὰρ ὁ Κύριος τοὺς πάντας σωθῆναι. Ἔπεσες; ΚΑ.
ἀλλ' ἀνάστηθι μόνον. μὴ ἐκδῷς ἑαυτὸν εἰς τέλος τῇ ἀπωλείᾳ. αὐτὸς γὰρ ὁ
Ματθ. Θ, ιβ. Σωτὴρ ἡμῶν εἴρηκεν· οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς
Μάρκ. Β, ιζ. ἔχοντες. καὶ, οὐκ ἦλθον δικαίους καλέσαι, ἀλλὰ ἁμαρτωλούς. Διὸ, ἀγαπητὲ
Λουκ. Ε, λα.
Ματθ. Θ, ιγ. ἀδελφὲ, ἀνάσχου, καὶ συμβουλεύσω σοι ῥῆμα· καθέζου ἐν ἡσυχίᾳ, καὶ ἄγαγε πρὸ
ὀφθαλμῶν σου τὸν φόβον τοῦ Κυρίου· καὶ ἐπισυνάξας σου τοὺς λογισμοὺς κάθου Λ.
αὐτοῖς ὡς κριτὴς, καὶ κατάμαθε τὴν διαγωγὴν τοῦ παρελθόντος χρόνου, ἀφ' οὗ
καὶ ἦρξω εἰς τὸν μονήρη βίον, ἵνα ἐπιγνῷς τὴν γενομένην σοι αἰτίαν τῆς τοιαύτης κα-
ταστάσεως, καὶ σημείωσαι ἐν τῇ καρδίᾳ σου τὸ βλάβος καὶ τὴν αἰτίαν, καὶ πόθεν ἡ
αἰτία ἐγκέκρυφε τῆς τοιαύτης ζημίας. Ἐὰν γὰρ περιπέσῃ ἔμπορος πειραταῖς,
εἴτε ὑποβρύχιον γένηται τὸ πλοῖον, καὶ ἀπολέσῃ τὸν γόμον, οὐκ ἐπιλανθάνεται τοῦ ΛΑ.
τόπου, ἔνθα τὸν γόμον ἀπώλεσεν· εἰ δὲ καὶ μετὰ χρόνον ἱκανὸν συμβῇ αὐτῷ
παριέναι τὸν τόπον, μετὰ ὑποψίας πολλῆς δι' αὐτοῦ παρέρχεται. ἐσώμεθα οὖν καὶ
ἡμεῖς ἐκείνους μεμιμημένοι, μᾶλλον δὲ σοφώτεροι. ἐκεῖνοι τὸν πλοῦτον τὸν φθαρ-
τὸν ἀπολέσαντες, τοῦ τόπου οὐκ ἐπιλανθάνονται· ἡμεῖς δὲ ἄφθαρτον. Τοιγαροῦν
καθέζου ἐν ἡσυχίᾳ, καθὼς προείρηται, καὶ ἐπισυνάγαγέ σου τοὺς λογισμοὺς, καὶ ἀνά- ΛΒ.
λαβε τὸ πνεῦμά σου, ἡμέρας καὶ νυκτὸς, ἵνα ἐπιγνῷς τὴν αἰτίαν τῆς τοιαύτης
ζημίας καὶ καταστροφῆς. μήποτε ἀπ' ἀρχῆς παρρησίαν ἐκτήσω, καὶ ἡ παρρησία

μήποτε ψέγοντά σου τὸν [illegible], καὶ τὰ ἤθη διόρθωμα, τὸ [illegible] καὶ ἀνα-
[illegible] ἀποτελέσῃ. μήποτε ἐκ τῆς πολυλογίας τὸ [illegible] ἐγκόψωμεν, μήποτε
ἐκ τῆς γαστριμαργίας αἰτία γένηται. μήποτε ἐκ τῆς ἀνεπιστασίας [illegible]
γένηται, μήποτε ἐξ ὀρέξεων διαφόρων σκοπῶν, μήποτε ἐκ [illegible] διαφο- [illegible]
Ε. νίας καὶ τῆς [illegible] τὸ μέγιστον κακὸν συμπεράσωμεν. Καὶ [illegible] ἀπέ-
χομαι τῆς παρρησίας καὶ τὴν [illegible] διὰ τῆς εὐλαβείας. Μὴ αἰσχυνθῇς κα-
θῆσαι ὑποκριτὴς ἀπὸ τῶν [illegible] ταῖς ἐντολαῖς τοῦ Κυρίου. δῆλον γὰρ ὅτι εἰ κατὰ
διόρθωσιν τοῦ ἀδελφοῦ τὴν [illegible] τοῦ ὑποκρίσεως [illegible], ἀλλ' ἵνα [illegible]
ὁ ἀδελφός, ἀναιδὴς καὶ ἀναίσχυντος καὶ ἀλλότριος τῆς δικαίας γνώμης γίνηται.
Ι. Τὸν γὰρ [illegible], ὑποκριτὴς ὀνομάζουσι. πρὸς ὃν ὁ Δεσπότης λέγει· Ὑποκριτά, Ματθ. Ζ, ε.
ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν Λουκ. ς, μβ.
τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. Μὴ οὖν ἐντραπῇς τὸν ὀνειδισμόν,
ἀγαπητὲ ἀδελφέ· ἀπαρρησίαστον δὲ μὴ ἀναλάβῃς. ἀπαρρησιάστους γὰρ [illegible]
[illegible], ἡ ἁγία Γραφὴ λέγει. Καθὼς καὶ ἐν ἑτέρῳ λέγει· ἐὰν ἡ καρδία ἡμῶν α Ἰωάν. Γ, κα.
ΙΕ. μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν. Καὶ ἐν ἑτέρῳ λέ-
γει· εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοί ἐστε· ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ α Πέτρ. Δ, ιδ.
Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται. μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεύς,
ἢ ὡς κλέπτης, ἢ ὡς ἀλλοτριοεπίσκοπος. εἰ δὲ ὡς Χριστιανός, μὴ αἰσχυνέ-
σθω· δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ ὀνόματι τούτῳ. καὶ εἰ ὁ δίκαιος μόλις σώζεται,
Κ. ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; Φεῦγε τοιγαροῦν τὴν παρρησίαν, καὶ τὰ
γέλωτα· οὐ γὰρ συμβάλλεται τῇ ψυχῇ σου. τίς γὰρ μερὶς πιστῷ μετὰ ἀπίστου; β Κορινθ. ς, ιε.
Ὁμοίως δὲ καὶ τὴν γαστριμαργίαν διάμισον διὰ τῆς ἐγκρατείας· τὴν φιλαρ-
γυρίαν, διὰ τῆς ἀκτησίας καὶ ἀκτημοσύνης· τὴν πολυλογίαν, διὰ τῆς σιωπῆς·
τὴν * ἀκηδίαν, διὰ τῆς ὑπομονῆς τοῦ κελλίου· τὴν ὀλιγωρίαν, διὰ τῆς μνή- * [illegible]
ΚΕ. μης τῶν μελλόντων ἀγαθῶν· τὴν [illegible], διὰ τῆς ταπεινοφροσύνης. Εἰ δὲ [illegible]
καὶ προφάσει μισοπονηρίας, τὸ κακόν σοι [illegible] ὁ Ἐχθρός, τοῦ λοιποῦ σεαυ- [illegible]
τὸν ἁγνὸν τήρει· μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. Κατὰ δὲ τὴν ἐμὴν γνώμην [illegible]
λογίζομαι, ὅτι ἀρχὴ κακῶν γένοιτ' ἂν ἡ παρρησία· καὶ αὕτη σε [illegible] ἀπεργά- [illegible]
σαιτο. Διὸ λέγει μακάριος ἀνήρ, ὃς [illegible] πάντα δι' εὐλάβειαν. Παροιμ. Κη, ιδ.
Λ. Τί δὲ κέρδος ἔχει ὁ κόσμος; ἢ τί ἀγαθὸν παρέχει τοῖς ἀγαπῶσιν αὐτόν; Ἔ-
λαβέ τις γυναῖκα. ἀρχὴ μεριμνῶν. Ἐγέννησεν υἱόν. φροντὶς ἑτέρα. Ἐπέχθη
ἄλλος. [illegible] ἡ μέριμνα. Ἀπέθανεν ὁ εἷς υἱός. ἀπώλεσε τοὺς γεννή-
σαντας αὐτὸν πένθος. Ἐὰν δὲ καὶ ὁ ζῶν ἀποβῇ κακότροπος, ἀθυμεῖ [illegible] αὐτοῦ
μᾶλλον, ἢ περὶ τοῦ τεθνηκότος. Ὅταν δὲ ἔλθῃ τῷ ἀνδρὶ ἡ ὥρα τοῦ θανάτου
ΛΕ. αὐτοῦ, χεῖρον τοῦ θανάτου τὴν θλῖψιν λογίζεται, ὅτι τὴν μὲν γυναῖκα αὐτοῦ
κατέλιπε χήραν, τὰ δὲ τέκνα αὐτοῦ ὀρφανά. Καὶ τούτων πάντων ἠλευθέρωσέ
σε ὁ ζυγὸς τοῦ Χριστοῦ, μοναχέ, καὶ πῶς πάλιν εἰς τὰ ἀρχαῖα βούλει ἀνακάμ-
ψαι; Μὴ ἀπογνώσῃς σεαυτοῦ, μηδὲ λέγε, ὅτι οὐκ ἔτι δύναμαι σωθῆναι·
ἀλλὰ καὶ σφόδρα δύνῃ σωθῆναι. τὸν φόβον τοῦ Θεοῦ ἀγάπα ἐν ὅλῃ τῇ
Μ. ψυχῇ σου, καὶ αὐτὸς [illegible] σου τὰ [illegible], καὶ [illegible] σε τοῦ λοιποῦ
διαφυλάξει. ἐὰν ἀγαπήσῃς τὸν φόβον τοῦ Κυρίου, ἀγαπήσει ἡ ψυχή σου, οὐ μὴ ἐμ- [illegible]
πέσῃς εἰς τὰς παγίδας τοῦ Διαβόλου, ἀλλ' ἔσῃ ὡς ἀετὸς εἰς τὰ ὕψη πετόμενος. [illegible]

Ἐὰν δὲ μὴ ταῦτα ἀμελήσωσιν ἡ ψυχὴ, καὶ καταφρονήσωσι τὸν φόβον τοῦ Θεοῦ, καθαιρεθεῖσα τὴν ὑψαυχενίαν, παίζεται ὑπὸ τῶν κατωτάτων, οἳ καὶ καταλήψαντες τοὺς ὀφθαλμοὺς αὐτῆς, ἐλαύνουσιν αὐτὴν εἰς τὰ πάθη τῆς ἀτιμίας, ὡς βοῦν συνεζευγμένον τῇ μηχανῇ. Διὸ, * ἀγαπητὲ ἀδελφὲ, φροντίσωμεν τῆς ἀληθείας. φροντίσωμεν τῆς ἑαυτῶν σωτηρίας. φροντίσωμεν τῆς ὥρας τοῦ θανάτου. Μισήσωμεν τὰ κοσμικὰ πράγματα. ταῦτα πάντα ὧδε μένει· ταῦτα οὐκ ἐξελεῖται ἡμᾶς ἐν ὥρᾳ τῆς ἀνάγκης ὅτε μεταμελόμενοι, οὐδὲν ὠφελοῦμεν· ὅτε παρακαλοῦμεν τοῦ ἀφεθῆναι ἡμᾶς, καὶ οὐδεὶς ὁ ἀπολύων. Οἴμοι, οἴμοι, οἵα φοβερὰ τυγχάνει ἡ ὥρα τοῦ θανάτου, ὅτε χωρίζεται ἡ ψυχὴ ἀπὸ τοῦ σώματος. Τότε οὐ πατὴρ συνοδεύει υἱῷ, οὐ μήτηρ θυγατρὶ, οὐ γυνὴ ἀνδρὶ, οὐκ ἀδελφὸς ἀδελφῷ, εἰ μὴ ἑκάστου αἱ πράξεις, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. Τοιγαροῦν προαποστείλωμεν ἑαυτοῖς πράξεις ἀγαθὰς, ἵνα ὅταν πορευθῶμεν, δέξωνται ἡμᾶς εἰς τὴν πόλιν τῶν ἁγίων. Ἐὰν βούλει προκόπτειν, αὐτὸν τὸν Βασιλέα φίλον κτῆσαι ἀπεντεῦθεν. οἵαν δόξαν δοκεῖς εὑρεῖν, ἀγαπητὲ ἀδελφὲ, ἐάνπερ ἀπεντεῦθεν κτήσῃ φίλον τὸν Βασιλέα τῆς δόξης; Ὡς γὰρ τιμᾷς ὧδε, τοιοῦτον βαθμὸν ἀποδέξει σοι· καὶ οἷος δουλεύεις αὐτῷ ὧδε, τοιοῦτον καὶ αὐτὸς τιμήσει σε ἐκεῖ. Γέγραπται γάρ· ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται. Τίμα οὖν αὐτὸν ἐν ὅλῃ τῇ ψυχῇ σου, ὅπως ἀξιώσῃ σε τῆς τιμῆς τῶν ἁγίων. Ἐν τίνι δὲ δεῖ κτήσασθαι αὐτόν; Πρόσφερε αὐτῷ χρυσίον, ἀργύριον· ἐὰν ἴδῃς γυμνὸν, περίβαλε. εἰ δὲ οὐχ ὑπάρχει σοι οὐδὲν τούτων, πρόσφερε αὐτῷ ἕτερα * ἤδη τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου τιμιώτερα, πίστιν, ἀγάπην, ἐγκράτειαν, ὑπομονὴν, μακροθυμίαν, ταπεινοφροσύνην. Ἀπέχου ἀπὸ καταλαλιᾶς. τήρει σου ὀφθαλμοὺς, τοῦ μὴ ἰδεῖν ματαιότητας· καὶ τὰς χεῖράς σου, μὴ ποιεῖν ἄδικον. τοὺς πόδας σου ἀπόστρεψον ἀπὸ ὁδοῦ κακῆς. Παρακάλει ὀλιγοψυχοῦντας· συμπάθησον ἀσθενοῦντας. Δὸς ποτήριον ψυχροῦ διψῶντι· δὸς κλάσμα ἄρτου πεινῶντι. Ἐξ ὧν ἔχεις, ἐξ ὧν αὐτός σοι ἐχαρίσατο, πρόσφερε αὐτῷ. Καὶ γὰρ τὰ δύο λεπτὰ τῆς χήρας οὐκ ἀπεβάλλετο ὁ Χριστός. Τί δὲ καὶ ἐπίστευσε Ἡλιοὺ παρὰ τῆς χήρας; οὐχὶ ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ ψωμὸν ἄρτου; Καὶ ἀναστὰς Ἠλίας ἐπορεύθη εἰς Σάρεπτα * τῆς Σιδῶνος. καὶ ἤγγισεν εἰς τὸν πυλῶνα τῆς πόλεως· καὶ ἰδοὺ χήρα γυνὴ συλλέγουσα ξύλα. καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἡλιοὺ, καὶ εἶπε· λῆψη δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι. Καὶ ἐπορεύθη λαβεῖν, καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἡλιοὺ, καὶ εἶπε· λῆψη δή μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου. Ὁρᾷς, ἀγαπητὲ, ἐν τίσιν εὐηρέστησαν οἱ ἅγιοι προφῆται; ἐν ὀλίγῳ ὕδατι καὶ ψωμῷ ἄρτου, καὶ αὐτῷ μετὰ στενοχωρίας. εἶχον δὲ τὴν πᾶσαν σπουδὴν εἰς τὰ ἀποκείμενα αὐτοῖς ἀγαθὰ ἐν τοῖς οὐρανοῖς. Ἀγαπήσωμεν οὖν καὶ ἡμεῖς τὴν τῶν ἁγίων ὁδὸν, ἀδελφοὶ ἀγαπητοί. ὡς ἔτι ἔχομεν καιρὸν, ποιήσωμεν αὐτῷ καρπὸν καλὸν μετανοίας. Μὴ ἀπολέσωμεν καιρὸν ἐπιτήδειον εἰς μετάνοιαν. μηδὲ μετεωρισθῶμεν ταῖς φαντασίαις τοῦ κόσμου τούτου. μηδὲ μετὰ ἀνδρῶν, ἐν ἀφοβίᾳ Θεοῦ διατελούντων τὰ ἔργα αὐτῶν, μὴ συνάψωμεν ἑαυτούς. μηδὲ ζηλώσωμεν τὰ ἔργα τῶν καταφρονούντων τῆς ἑαυτῶν σωτηρίας. κατὰ τὸ λόγιον τοῦ Ἀποστόλου· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Καὶ ἐν ἑτέρῳ λέγει· ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφήσεις, ἀλλὰ φύλαξον ἑαυτῷ

ἄλλως, ἀγαπητοὶ ἀδελφοί.

α Βασιλ. Β, λ.

ἄλλως, εἶδον.

Ψαλμ. Ρλθ. κζ, ρα.

Ματθ. Ι, μβ. Μάρκ. Θ, μα.

Μάρκ. ΙΒ, μβ. Λουκ. ΚΑ, β.

γ Βασ. ΙΖ, θ, ι, ια.

ἄλλ. τῆς σιδωνίας. καὶ, τῶν σιδωνίων.

α Κορινθ. ΙΕ, λγ. Παροιμ. Δ, ιγ, ιδ, ιε, ις, ιζ, ιη. τῶν ό.

εἰς ζωήν σου. ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων. ἐν ᾧ
ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ' αὐτῶν, καὶ παράλ-
λαξον. οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν· ἀφαιρεῖται ὁ ὕπνος * αὐ- ἀλλ. ἀπ' αὐτῶν.
τῶν, καὶ οὐ κοιμῶνται. οὗτοι γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύ-
E. σκονται. αἱ δὲ ὁδοὶ τῶν δικαίων φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν,
ἕως ἂν κατορθώσῃ ἡμέρα. Καὶ πάλιν λέγει· μὴ γίνου ἑταῖρος ἀνδρὶ θυμώδει· Παροιμ. ΚΒ, κδ.
φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου· μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, λάβῃς βρό-
χους τῇ σῇ ψυχῇ. Καὶ πάλιν ἐν ἑτέρῳ λέγει· οὗτοί εἰσι πηγαὶ ἄνυδροι, καὶ ὁμί- β Πέτ. Β, ιζ, ιη, ιθ, κ.
χλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. Ἰούδ. ι, ιβ, ιγ.
I. ὑπέρογκα ματαιότητος φθεγγόμενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελ-
γείας, τοὺς λόγοις ἀποφυγόντας τοὺς οὕτως, καὶ τοὺς ἐν πλάνῃ ἀναστρεφομένους·
ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς. ᾧ
γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ
κόσμου τούτου, ἐν ἐπιγνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμ-
IE. πλακέντες ἡττῶνται· γέγονεν αὐτοῖς τὰ ἔσχατα, χείρονα τῶν πρώτων. Καὶ πά-
λιν λέγει ἐν ἑτέρῳ· παρακαλοῦμεν δὲ ὑμᾶς σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ Ῥωμ. Ιϛ, ιζ, ιη.
σκάνδαλα, παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ'
αὐτῶν. οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ
ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρ-
K. δίας τῶν ἀκάκων. Φύγωμεν οὖν τὴν πλατεῖαν ὁδὸν, τὴν ἀπάγουσαν εἰς τὴν ἀπώ-
λειαν· ποθήσωμεν δὲ τὴν στενὴν, τὴν * ἀπάγουσαν εἰς τὴν αἰώνιον βασιλείαν. Πο- ἴσ. ἐπάγουσαν.
νέσωμεν ὧδε ἑκουσίως, πρὸ τοῦ ἡμᾶς πονέσαι ἀκουσίως. Μισήσωμεν τὸν ἐμπαθῆ
κόσμον, καὶ τὸν ἐμπαθῆ βίον. Ποιήσωμεν ἑαυτοῖς τροχιὰς ὀρθάς. Ἀγαπήσω- Παροιμ. Δ, κϛ.
μεν τὴν σπουδὴν, ζέοντες πρὸς Κύριον τῷ πνεύματι. Κλαύσωμεν ὧδε ἑκου-
KE. σίως, ἵνα Θεὸν δυσωπήσαντες, ἐξέληται ἡμᾶς τοῦ αἰωνίου πυρὸς καὶ βρυγμοῦ τῶν
ὀδόντων. Ἀγαπήσωμεν τὸ πένθος, ὅτι τοῦ Χριστοῦ ἐστιν ἐντολή· αὐτὸς γὰρ εἴρη- Ματθ. Ε, δ.
κε· μακάριοι οἱ πενθοῦντες νῦν, ὅτι αὐτοὶ παρακληθήσονται. Ἐννοηθῶμεν,
ἀγαπητοὶ ἀδελφοὶ, τοὺς τὴν θάλασσαν πλέοντας, οἵους κινδύνους ὑπομένουσι θα-
λασσομαχοῦντες, καὶ τὰ μεγέθη τῶν πελαγῶν διαπερῶντες. Ἡνίκα δέ τις πλη-
Λ. ρώσῃ τὸν χρόνον τῆς μισθώσεως αὐτοῦ, οὐ προσποιεῖται τοὺς κινδύνους, ὡς ὑπὲρ
θαλασσομαχῶν, διὰ τὴν χαρὰν, ὅτι ἀπέλαβε πλήρη τὸν μισθὸν αὐτοῦ· μᾶλ-
λον δὲ καὶ προθύμως καθίσταται τοῦ πλέειν ἐν τῇ θαλάσσῃ. Ἐκεῖνοι μὲν, ὅτε
τελέσωσι, τότε ἄρχονται. Ἡμεῖς δὲ, ἀγαπητοὶ ἀδελφοὶ, ἐὰν φθάσωμεν κα-
λῶς τελέσαι τὸν προκείμενον ἡμῖν ἀγῶνα, οὐκέτι ἡμῖν ἀνάγκη ἐπίκειται,
ΛE. πάλιν τῷ αὐτῷ δρόμῳ χρήσασθαι· ἀδιάδοχον γάρ ἐστι τοῦτο. Μικρὸς ὁ ἀγὼν,
ἀδελφοί· καὶ ἀνεκδιήγητος ἡ μισθαποδοσία. [illegible] οὖν εἰς τὸ ἔργον τοῦ Κυ-
ρίου, ἀγαπητοὶ, ἐν ὅλῃ καρδίᾳ καὶ δυνάμει, ὡς καιρὸν ἔχομεν. Ὥσπερ γὰρ Ῥωμ. Ια, κθ.
ἀμεταμέλητα τὰ χαρίσματα αὐτοῦ, καὶ ἡ κλῆσις τοῖς ἁγίοις· οὕτως καὶ τὰ ἐν-
αντία τοῖς ἐναντίοις ἡτοίμασται ἀπ' ἀρχῆς. Διὸ μακάριος ἀνὴρ, ὁ φοβού-
M. μενος τὸν Κύριον, ὅτι παρ' αὐτοῦ λήψεται τὸν στέφανον, ὃν ἡτοίμασε τοῖς ἀγα-
πῶσιν αὐτόν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΡΟΣ ΑΔΕΛΦΟΝ ΕΚΠΕΣΟΝΤΑ, ΚΑΙ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΠΑΡΑΙΝΕΣΙΣ ΜΒ.

ΤΟΙΣ ἐν ὑποταγῇ καθεζομένοις πνευματικοῦ πατρὸς ὑποβάλλει ὁ
Ἐχθρὸς, λέγων· ἀποχώρει ἐντεῦθεν, καὶ οἴκει κατὰ σεαυτὸν, καὶ ἀναπαύῃ Ε.
μᾶλλον. Καὶ ἐὰν συγκατατεθῆται ὁ ἀδελφὸς τοῖς τοιούτοις λογισμοῖς, χωρί-
ζεται τῆς ἀδελφότητος. Καὶ ἐὰν ἴδῃ ὁ Ἐχθρὸς, ὅτι νήφει ὁ λογισμὸς τοῦ ἀδελ-
φοῦ μικρὸν, ὑποβάλλει αὐτῷ, λέγων· εἴσελθε εἰς τὴν ἐνδοτέραν ἔρημον. Εἶτα
καθίσαντος τοῦ ἀδελφοῦ, χρόνον τινὰ, ἐν τῇ ἐρήμῳ, τότε προσφέρει αὐτῷ ὁ
μισόκαλος Δαίμων τὸν λογισμὸν τῆς ἀκηδίας, καὶ τὸ ἔκτασμα τοῦ χρόνου, καὶ τὴν Ι.
σπάνιν τῶν χρειῶν, καὶ τὴν ἀσθένειαν τοῦ γήρως, καὶ τὸν κόπον τῆς ἐρήμου. Καὶ ἐὰν ἰσχύει
ὁ Ἐχθρὸς σαλεῦσαι τὸν ἀδελφὸν, ἀνασπᾷ αὐτὸν κἀκεῖθεν, καὶ φέρει αὐτὸν
πλησίον κώμης ἢ πόλεως. Τότε ἐπιτίθησιν αὐτῷ τὴν πορνείαν. Ὁ οὖν ἀδελφὸς
ἐγκρατεύεται τοῦ μὴ εἰσιέναι ἐν τῇ πόλει, μήτε εἰς κώμας προσεγγίζειν. Τότε
θεασάμενος ὁ Ἐχθρὸς τὸν κόπον τοῦ ἀδελφοῦ, τὰς κακίας καὶ τὰ τεχνάσματα ΙΕ.
ἴσ. καταπαλαίειν. ἐπινοεῖ, ἐν οἷς βούλεται * καταβαλεῖν τὸν ἀδελφόν. ἐξ ὧν ἡ μία ἐστὶν αὕτη.
Ἐν μιᾷ τῶν ἡμερῶν, ἡσυχάζοντος τοῦ ἀδελφοῦ ἐν τῷ κελλίῳ, προσκομίζει
γυναῖκα, κρούειν αὐτῷ, προφάσει πλανωμένης καὶ ὀλιγοψυχούσης, ἢ ὡς δι'
ἐλεημοσύνην ἐλθούσης, ἢ προφασίζεται μοναχὸν γνώριμον ἐπιζητεῖν. Ὁ οὖν
ἄλλ. ἀδελφός. ἀδελφὸς ἀνοίξας τὴν θύραν αὐτοῦ, ὁρᾷ τὴν γυναῖκα. Ποῦ μένει ὁ δεῖνα * μο- Κ.
ἄλλως, με. ναχός; καὶ, ὅτι κέκλικεν ἤδη ἡμέρα, ποίησον ἀγάπην ὑποδέξαι * ἡμᾶς ἔσω
ἄλλ.—μένης με. τῆς θύρας σου, τὴν νύκτα ταύτην, μήποτε * πλανωμένων ἡμῶν, φάγωσιν ἡμᾶς
ἴσ. συμπαίκτριαν τὰ θηρία. Πολλάκις δὲ καὶ ἄλλην * συμπαίκτειαν φέρει μεθ' ἑαυτῆς τὴν
γυναῖκα· ἴσως δὲ καὶ ἀναλώματα βαστάζουσι καὶ χρείας, ἐν οἷς βούλονται δε-
ἄλλ. μοναχόν. λεάσαι τὸν * ἀδελφόν. Τότε πολεμεῖ ὁ * ἀδελφὸς ἐξ ἑκατέρων τῶν λογισμῶν, ΚΕ.
ἄλλ. μοναχός. ἴσ. λυμαίνεται. καὶ * μαίνεται, ὡς ἄσπλαγχνος, ἐκπεσεῖν τῆς ἐντολῆς· μήποτε δὲ καὶ διὰ τοῦ
ἀγαθοῦ θηρευθῇ αὐτοῦ ἡ ψυχή. ἵνα δὲ μὴ μηκύνωμεν τὸν λόγον· ἡττᾶται ὁ
μοναχὸς τῇ ἐπιθυμίᾳ. καὶ μετὰ τὸ συντελεσθῆναι τὴν ἀνομίαν, ἐάν τις βουληθῇ
Ἑβραΐζει μεταφραστής. ἐξαποστεῖλαι αὐτὴν, ἀποκρίνεται αὐτῷ, λέγουσα· ὅτε με * ἐταπείνωσας, ἐξαπο-
στέλλεις με ἀπό σου; ἵνα ποῦ πορευθῶ; πῶς δὲ ὀφθήσομαι τῷ προσώπῳ τῶν Λ.
γονέων μου; μὴ δύναται κρυβῆναι τὸ πρᾶγμα. ἀσφαλῶς οὖν γίνωσκε, μο-
ναχὲ, ὅτι οὐκέτι ἀφίσταμαι ἀπό σου, ἀλλὰ καὶ μετά σου καθέζομαι ἐν τῷ κελ-
ἄλλ. διαθρέψεις. λίῳ σου, καὶ ὅθεν θέλῃς, * διάτρεφέ με. Τότε ἄρχεται ὁ μοναχὸς θρηνεῖν ἑαυτὸν,
ὅτι ὅλως ἤνοιξε τὴν θύραν τοῦ κελλίου αὐτοῦ. Ταῦτα οὖν γινώσκων, μοναχὲ, τήρει
σεαυτόν. Ἐὰν γὰρ ἐμπέσῃς εἰς τοὺς βρόχους αὐτῆς, κόπῳ ἐκβλῆσαί σε δυνήσῃ. ΛΕ.
Παροιμ. Ζ, κα. Βρόχοις γὰρ, φησὶ, τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν. Προγινώσκων τοιγαροῦν,
τί ἔσται τὰ ἔσχατα τῆς ἁμαρτίας, καὶ οἵαν ἀτιμίαν προξενεῖ τοῖς χρωμένοις
αὐτῇ εἰς τὰ ταμιεῖα ταῦτα, φεῦγε ἐκ τῆς ἡδυπαθείας· οἱ γὰρ καρποὶ αὐτῆς,
καρποὶ αἰσχύνης. Καὶ πρὸ μὲν τῆς ἡδονῆς, ἐπιθυμία· μετὰ δὲ τὴν ἡδονὴν, λύπη
διαδέχεται. Καὶ φεῦγε τὴν ἁμαρτίαν, λογιζόμενος τὴν αἰσχύνην τῶν ἀνθρώ- Μ.
πων, μᾶλλον δὲ τὸν φόβον τοῦ Κυρίου. Ἀποδίωκε οὖν τὸν Δαίμονα τὸν θέλοντά
σε ἀπατῆσαι, καὶ τοὺς πόνους συλῆσαι, ὅπως ἀλύπως διαμείνῃς. Οἶδεν γὰρ ὁ

καρδιογνώστης Κύριος, ὅτι οὐ πονηρίας χάριν, ἢ μισανθρωπίας, ἀποβάλλεις τὸν
γέροντα, ἀλλ' ἵνα μὴ διὰ τὸ ἀγαθὸν, τὸ κακόν σοι κατεργάσηται. Εἰ δέ τις
λέγῃ, ὅτι καλὸν ἡ φιλοξενία, συμφημὶ κἀγώ. ὁ δὲ φιλόξενος ἀνὴρ μεμνή-
σθω ὀφείλει τοῦ δοκιμάζειν [illegible] ἐν [illegible] τὸ [illegible]
E. ἑαυτοῦ, [illegible] τὸ [illegible] τὴν ἐντολὴν τήρησον. [illegible] τῆς ἁμαρ-
τίας φεῦγε, ὡς ἐκ προσώπου * ὄφεως. Ὁ γὰρ εἰπὼν, ξένος ἤμην, καὶ συνηγά- ἄλλως, ὄφεως.
γετέ με· εἶπε καὶ ὁ [illegible]. Νῆφε ἐν τῇ νεότητί σου. Νῆφε, μήποτε ἀμε- Ματθ. Κε, λε.
λήσας, [illegible] τοῖς πάθεσι δουλεύσῃς ἀπὸ νεότητος, ἕως γήρως. Ὁ γὰρ ἐν πε- Ε, κζ. Ιθ, π.
λάγει ναυαγήσας, ἴσως, καὶ [illegible] καὶ [illegible] ἡ πολλὴ τῶν κυμάτων ἐπ-
I. ανάστασις ἴσχυσε κατ' αὐτοῦ. Ὁ δὲ ἐν τῷ λιμένι ναυαγήσας, ἔοικεν ὡς ἐξ ἰδίας
ἀμελείας τὸ πλοῖον τοῦ δεσπότου αὐτοῦ ἐν τῷ βυθῷ καταβάξας, καὶ ἀπολέσας. Σὺ
δὲ ἐν τῷ λιμένι τυγχάνεις, μοναχὲ, [illegible] πρόσεχε σεαυτῷ. Διὰ τοῦτο, οὐδὲ
συμφέρει ἡμῖν ἡ ἐν ταῖς πόλεσι διατριβή. Ἐὰν δὲ κατεπείγῃ ἀνάγκη τοῦ φθά-
σαι ἕως πόλεως, μὴ [illegible] προσομιλεῖν γυναιξίν. [illegible] ὁ κατεπείγων ἀγρι-
IE. ώτερον, οὕτως ἐλκυσθήσεταί σου ἡ ψυχή. Νῆφε οὖν, ὅτι οὐ μακρὰν τὸ [illegible]
κει. καὶ διὰ τὸ [illegible] σε, καὶ τοῦ φόβου τοῦ Θεοῦ, ἀγωνίζου [illegible] τὸν πειρα-
σμόν. ἡ γὰρ ἀναισχυντία, μήτηρ ἐστὶ τῆς πορνείας. Ἐὰν θεάσωνταί σε παρρησιαζό-
μενον, καὶ [illegible] πρὸς αὐτὰς, εἰς χεῖρα [illegible] καταβάλλουσί
σε. Ἀλλὰ καὶ εὐλαβὴς τυγχάνων, μὴ θάρρει σεαυτῷ. ἀλλὰ νῆφε, μήποτε,
K. προφάσει κατανύξεως καὶ εὐλαβείας, [illegible] σε τῶν [illegible] διὰ τῶν ῥημά-
των. Εἰ γάρ τις τῶν ἁγίων λόγους προβάλληται, μισοῦσι τὸ πάθος πει-
ρώμεναι. Ἀλλὰ καθὼς εἴρηκεν ὁ Σωτήρ· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρό- Ματθ. Ι, ις.
βατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι, * ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ Λουκ. Ι, γ.
περιστεραί. Παραγγέλλει δὲ καὶ διὰ τοῦ Ἀποστόλου, λέγων· μὴ γίνεσθε ἄφρονες, ἴσ. ὡς οἱ ὄφεις.
KE. ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ Κυρίου· καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν Εφεσ. Ε, ιζ, ιη.
ἀσωτία. Ἀσφαλῶς οὖν γίνωσκε, ἀγαπητέ, ὅτι ἂν ἦς ὡς χρυσίον καθαρὸν ἐν τῷ
κόσμῳ, καὶ ἐλθόντος σου εἰς τὸ μοναχὸν, ἀμελήσῃς σεαυτοῦ, οὐ χρονίζεις γίνεσθαι
ὡς μόλιβδος. Καὶ ἐλθὼν εἰς τὸ μοναχὸν πάλιν, ἐὰν ἀγαπήσῃς τὸν Κύριον ἐν
ἀληθείᾳ, οὐ χρονίζεις γενέσθαι ὡς μαργαρίτης, μὴ ἔχων σπίλον, ἢ ῥυτίδα, ἤ τι Εφεσ. Ε, κζ.
Λ. τῶν τοιούτων, ἀλλ' ἔσῃ ἄμωμος κατὰ πάντα. Καὶ τοῦτο πάλιν γινώσκειν σε βούλο-
μαι, ὅτι ὁ χρώμενος τῇ ἁμαρτίᾳ, [illegible] πόλεμον ἔχει, τοῦ ἐγκρα-
τευομένου. Ὥσπερ γὰρ ὁ [illegible] βόρβορος ἐν τόπῳ τινὶ, πλεονάζει τὴν δυσωδίαν·
οὕτως καὶ ὁ μὴ ἐγκρατευόμενος, αὔξει τὰ πάθη. Γίνωσκε ὅτι ἐὰν ἀμελήσῃς
σεαυτοῦ, ἔσχατον μεταμεληθήσῃ. τοῦ Ἀποστόλου λέγοντος· ὁ ἄγαμος μεριμνᾷ τὰ α Κορ. Ζ, λβ, λγ.
ΛE. τοῦ Κυρίου, πῶς ἀρέσει τῷ * Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἄλλως, Θεῷ.
ἀρέσει τῇ γυναικί, καὶ μεμέρισται. Σὺ δὲ, μοναχὲ, τὴν τοῦ κόσμου μέριμναν
ἐξελέξω, ἀλλὰ πῶς ἀρέσῃς τῷ Κυρίῳ· ἐπεὶ σεαυτὸν εὐνούχισας διὰ τὴν τῶν Ματθ. Ιθ, ιβ.
οὐρανῶν βασιλείαν. Πάλιν λέγω· ἐὰν μὴ ἐγκρατεύσῃ, ἔσχατον λυπηθήσῃ. καὶ
τοῦ λέγοντος Ἀποστόλου· θλίψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. Ὁ γὰρ γαμή- α Κορ. Ζ, κη.
M. σας * προσέχει [illegible] τὸν [illegible] ἀγωνίας, [illegible] περὶ οἴκου, καὶ γυναικὸς, ἄλλως, πλουχεῖ.
καὶ παιδοτροφίας. ὁ δὲ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ.
Σεαυτὸν εὐνούχισας διὰ τὴν τῶν οὐρανῶν βασιλείαν, οὐ [illegible] σου [illegible] λυπ-

τερμῶν· ἔστι γὰρ τῆς ἀρετῆς ἀλλότριον· ἀλλ᾽ εὐσεβεῖ λογισμῷ τῶν ἡδονῶν κρατοῦσα.
Ἐκκλησ. Ε, ε. Ἔμμενε τοιγαροῦν τοῖς αὐτοῖς ὅροις· διότι γέγραπται· ἀγαθὸν τὸ μὴ εὔξασθαί
σε, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. Βιάζου οὖν σεαυτὸν ἐγκρατεύεσθαι, καὶ
ἄλλως, λιμένα ἥσυχον, εὐδίας μεστόν. εὑρήσεις καθαροὺς τοὺς διαλογισμούς σου, καὶ τὴν διάνοιάν σου, ὥσπερ * λιμένα
εὔδιον, ἡσυχίας μεστόν. Καὶ ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν πιαίνει σε τὰς δυνά- E.
μεις τῆς ψυχῆς, ὡσεὶ ἐκ στέατος καὶ πιότητος ἐμπεπλησμένας, ἐν ᾧ ὁ Κύριος αὐξ-
ἄλλως, τόπῳ. ώσῃ ἡμᾶς ὁ δίκαιος κριτὴς ἀμείψει. Μηδὲ ἐν ἑτέρῳ * τρόπῳ φθείρῃς τὸν ναὸν τοῦ
α Κορινθ. Γ, ιζ. ς, ιθ. Θεοῦ, παρακαλῶ, καὶ μὴ λυπήσῃς τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐνοικοῦν ἐν ἡμῖν,
μηδὲ τοὺς Ἀγγέλους τοὺς ἁγίους, τοὺς διατεταγμένους φυλάττειν ἡμέρας καὶ
ἀλλ. ἀοράτως. νυκτός, ἵνα καὶ τοὺς Δαίμονας ἀποδιώξωσιν ἀφ᾽ ἡμῶν, τοὺς * ἀοράτως τρίζοντας I.
καθ᾽ ἡμῶν τοὺς ὀδόντας, μήποτε αὐτοὶ ἡμῶν κατήγοροι γένωνται ἐν ἡμέρᾳ κρί-
σεως, καὶ ὑποπέσωμεν τῇ καταστροφῇ Σοδόμων. Ἐάν τε γὰρ καὶ οἱ τοῖχοι περι-
ἀλλ. ἐὰν στέγη. κυκλώσωσιν ἡμᾶς, * ἐάν τε γῆ καλύπτῃ, καὶ θύρα ἀποκέκλεισται, καὶ σκοτία τυγ-
Γένεσ. Α, δ. χάνῃ, ἀλλ᾽ ἐννοηθῶμεν, ὅτι ὁ ἀποχωρίσας τὸ σκότος ἀπὸ τοῦ φωτὸς, οὐδὲ αὐ-
τὸν λέληθε τὰ καθ᾽ ἡμᾶς. Καὶ πεισθήτω σε ὁ προφήτης, λέγων· συνέτε δὴ IE.
Ψαλμ. ϞΓ, η, θ, ι, ια. ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροὶ, ποτὲ φρονήσατε· ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει;
ὁ πλάσας τὸν ὀφθαλμὸν, οὐχὶ κατανοεῖ; ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ δι-
δάσκων ἄνθρωπον γνῶσιν; Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων,
ὅτι εἰσὶ μάταιοι. Ἀγαπητὲ ἀδελφὲ, οὐ μόνον τὰς πράξεις τῶν ἀνθρώπων ἐφορᾷ
ὁ Κύριος, ἀλλὰ καὶ τοὺς διαλογισμούς. Ἐὰν δὲ ὑποβάλλῃ σοι ὁ Ἐχθρὸς, λέγων K.
ἔστι μετάνοια, διὸ ἀπόλαυε τοῦ θελήματός σου. Εἰπὸν πρὸς αὐτόν· τίς ἡ χρεία,
ὦ Διάβολε, καθελεῖν οἰκίαν οἰκοδομηθεῖσαν, καὶ ἄνωθεν πάλιν οἰκοδομεῖν αὐ-
τήν; τοῦ Ἀποστόλου λέγοντος· μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν ἐργά-
Φιλιπ. Β, ιβ. ζεσθε. ὅπου δὲ φόβος καὶ τρόμος, δῆλον ὅτι οὐδεμία ῥᾳθυμία ὑπάρχει. Σχόλαζε
τοιγαροῦν τῇ ἑαυτοῦ σωτηρίᾳ, ἀγαπητὲ ἀδελφὲ, καὶ εἰπὲ ἐν σεαυτῷ· Ἄνθρωπε, KE.
τοσοῦτον χρόνον ἔχεις, ποιῶν τὰς ἐπιθυμίας τῆς σαρκὸς καὶ τῶν διανοιῶν σου; Τί
Ματθ. ς, κζ. Λουκ. ΙΒ, κε. ὠφελήθης, καὶ τί ἐκέρδησας τὰ τοιαῦτα ἐπιτελῶν; Ἆρα γε προσέθηκας ἐπὶ
τὴν ἡλικίαν σου, πῆχυν ἕνα; Ἀλλὰ πλούσιος γέγονας; οὐδὲν ἕτερον συνάγειν
ἔχεις σεαυτῷ, πλὴν τροφῆς σκωλήκων. Ἀλλὰ τί ἐκέρδησας; Τῶν ἐν οὐρα-
νοῖς θησαυρῶν ἐνέπλησας ἀγαθῶν, ἵνα ἀφόβως διάγῃς; Τί οὖν τὸ ὄφελος, Λ.
ἀλλ. ἐλήλυθας. ὅτι ἐξῆλθες ἐκ τοῦ κόσμου. Οἴμοι, ψυχὴ, εἰς τὴν τοιαύτην κατάστασιν * ἐλή-
λυθας, εἰς τὴν τοιαύτην καταστροφήν; Ἰδοὺ οἱ ἀδελφοί μου κεκοσμημένοι
εἰς τὰς ἀρετὰς, οἱ τὸν Θεὸν φοβούμενοι ἐν ἀληθείᾳ. ἐγὼ δὲ ἐν σκότει πορεύ-
ομαι. πρωῒ πρωῒ μεταμελοῦμαι ἐφ᾽ οἷς ἐποίησα καὶ ἑξῆς τὰ χείρω συντελῶ.
Καὶ ἐπειδὴ ὁ Κύριός μοι ἐχαρίσατο ἰσχὺν καὶ ὑγείαν, τούτοις ἐγὼ θαρρῶν παροξύνω ΛE.
τὸν ποιήσαντά με. Ἵνα τί ἀμελεῖς, ὦ ψυχή μου; ἵνα τί καταφρονεῖς; Μὴ γάρ
σε ὧδε ἐάσει ὁ ποιήσας σε ἐκ τοῦ μὴ ὄντος, καὶ εἰς τὸ εἶναι παραγαγών. Αὐτὸς
ἄλλως, ἐντεῦθεν; ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ καὶ ἀπολύσει * ἐντεῦθεν. Γνῶθι τὴν ἀσθένειάν σου,
ψυχή μου. Ἕως πότε ἀντερεῖς κατὰ τοῦ ποιήσαντός σε, καὶ τῶν προσταγμάτων αὐτοῦ;
Ὦ Διάβολε, ὄνειδός με πεποίηκας καὶ ἀγγέλοις καὶ ἀνθρώποις. ὑπήκοος γενό- M.
μενος τῆς ἀσεβοῦς συμβουλίας. Ὑπέβαλές μοι, λέγων· ποίει ἅπαξ τὴν ἐπιθυμίαν
σου, καὶ μηκέτι ποιήσῃς αὐτὴν, καὶ ἀγνοηθήσεται τὸ ἁμάρτημά σου. Ἰδοὺ τῆς

μικρὸν [illegible] μέγα, καὶ [illegible]. Ἀληθῶς γὰρ ἡ συνήθεια τῶν ἁμαρτημάτων [illegible] τῇ χρήσει [illegible] πεποίηκε. *Ἐσκότισε γάρ μου τὴν διάνοιαν διὰ τὸν ῥυπαρὸν λογισμόν, καὶ ἔθηκέ με εἰς τὸν [illegible] τῆς ἁμαρτίας. Τί εἴπω, ἵνα [illegible]; Γυμνὸν γάρ με [illegible] ὁ ἐχθρὸς ἐν τῷ ἐμῷ ῥαθυμίᾳ· ἀλλὰ [illegible] ἐλπίδα [illegible], [illegible] τῆς ἐμαυτοῦ σωτηρίας εἰς τέλος. [illegible] τὸν Ἀδδιον. Τὴν ἐγκράτειάν μου κατέλυσε διὰ τῆς [illegible] τοῦ στομάχου μου, καὶ τὸ ἐν προσευχαῖς ἀγρυπνεῖν [illegible] πεποίηκε· τὴν φιλαργυρίαν ἐφύτευσεν ἐν ἐμοί· [illegible] μακροθυμίας [illegible] μου [illegible] τὴν καρδίαν μου ἐπῆρε· τῆς ἐν Χριστῷ ὑποταγῆς με ἐστέρησε, καὶ [illegible] μου ἐνέπλησεν· ἀνυπότακτόν με πεποίηκε μὴ ἐργάζεσθαι, ἀλλὰ [illegible] πεποίηκε· φθονερὸν καὶ καταλαλόν με ἐδίδαξε· τὴν δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ μου οὐ συνεχώρησε κατανοεῖν, τὸ δὲ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ μου προσφέρει πρὸ ὀφθαλμῶν μου· τὰ τῆς καρδίας μου κρυπτὰ συμβουλεύει, ἐὰν προσκρούσῃ ὁ ἀδελφός μου εἰς παράπτωμα, ἐκεῖνόν με ἀπελέγχειν συμβουλεύει· ὑπερήφανον καὶ θυμώδη καὶ ὀργίλον με [illegible] γαστρίμαργον καὶ μέθυσον καὶ φιλήδονον [illegible] δίδαχε τὰς ζημίας τῆς ψυχῆς μου, ὡς κέρδη [illegible] μοι· ὀκνηρὸν καὶ γογγυστὴν καὶ πολύλαλόν με δεδίδαχε· ἐν ἀναγνώσει καὶ ψαλμῳδίᾳ μετεωρίζεσθαί με [illegible]. Ἐχώρησε [illegible] καὶ ὁ νοῦς [illegible] αἰχμαλωτίζομαι, καὶ ὁ νοῦς [illegible] τῶν [illegible] τοῦ Κυρίου, [illegible] τῇ ἀγαθῇ αὐτοῦ [illegible] τὰς βουλὰς [illegible] αὐτοῦ λόγοις, καὶ [illegible] αἰχμαλωτιζόμενος. Ἀρκεῖ σοι, Διάβολε. Δεῦρο λοιπὸν εἰς ἑαυτήν, ψυχή μου. Τί [illegible] τὸν [illegible] σε προσεγγίζεις; Ἕως τίνος τοῖς αὐτοῖς κακοῖς ἀναστρέφῃ; Μὴ [illegible] τὴν χάριν [illegible] σε, μήποτε ἀποχωρῇ ἀπὸ σοῦ, καὶ παραδοθῇς εἰς χεῖρας ἐχθρῶν σου. Φεῦγε τὸν Διάβολον, ὦ ψυχή μου, καὶ τὰ ἔργα αὐτοῦ· μισάνθρωπος γάρ ἐστιν, ἀνθρωποκτόνος ἐστὶν ἐξ ἀρχῆς. Ἐὰν προσελθῃς, [illegible] σε τῆς [illegible]. Κατάλιπε τὸν Πονηρόν, καὶ κολλήθητι τῷ φιλανθρώπῳ Θεῷ. [illegible] λοιπόν, ψυχή, καὶ ἐλθὲ εἰς ὁδὸν σωτηρίας. [illegible] πάντων ὁ ἀθλητής, ὕστερον [illegible] ἀνεδείχθη. [illegible] ἀνάστηθι [illegible] καὶ εἰπέ, Νῦν ἠρξάμην. Καὶ μὴ ἔμμενε ἐν τῷ πτώματι, μήποτε, ὡς πτῶμα, παραδοθῇς εἰς βρῶσιν ὀρνέων καὶ θηρίων, τοῦ Προφήτου βοῶντος· μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τὴν ψυχὴν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. Πρόσελθε καὶ σὺ τῷ Βασιλεῖ τῆς δόξης, ἐξομολογούμενος τὰς ἁμαρτίας σου· πλῆθος γὰρ ἔχει οἰκτιρμῶν. Οἱ τῷ ἐπιγείῳ Βασιλεῖ προσελθεῖν βουλόμενοι, [illegible], ὠθοῦνται ὑπὸ στρατιωτῶν καὶ λειτουργῶν, δῶρα προσφέρουσι τοῖς ἄρχουσιν, ἵνα τοῦ βουλήματος αὐτῶν τύχωσι. Σὺ δὲ προσερχόμενος τῷ Βασιλεῖ τῶν αἰώνων, [illegible] οὐ δῶρα αἰτεῖ. [illegible] γὰρ ὁ [illegible], [illegible], διὰ τὸ [illegible] τὸν Βασιλέα εὑρίσκεσθαι, καὶ [illegible] σε· ἀμνησίκακος γὰρ ὑπάρχει, καὶ φιλάνθρωπος, καὶ μετανοεῖν [illegible] ἀνθρώπων. Προσερχόμενος δέ σοι, μὴ ἐν [illegible], μηδὲ ἐν [illegible], ἀλλ' ἐν [illegible] συνειδότι πρόσελθε αὐτῷ. [illegible] γὰρ

Ἀλλ. ἐνεδύσατο.
Ἀλλ. ἔθηκε.
Ματθ. Ζ, γ, δ, ε. Λουκ. ς, μα, μβ.
Ἰωάν. Η, μδ.
Ψαλμ. ογ, ιθ.

Πάτερ, καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τοῦ λαλῆσαι μικρὸν ἢ μέγα, προσεῦχε περὶ ὧν μέλλεις λαλεῖν. Καὶ πρὸ τοῦ μέλ-
λειν ἀνοῖξαί σε τὸ στόμα, προγινώσκει τὰ ἐν καρδίᾳ σου. Μὴ οὖν δίσταζε,
μηδὲ κρύπτε σου τὸ πάθος· οὐ γάρ ἐστιν ἀπότομος ἰατρὸς, ἀλλὰ συμπαθὴς, λό-
γῳ θεραπεύει. μόνον εἰπὲ, καὶ ἐσώθης. Καὶ εἰς αὐτὸν τῶν πεπραγμένων πιστοῦται.
Μάρκ. Β, ια. Ἰωάν. Ε, η. Εἶπε τῷ παραλυτικῷ· σοὶ λέγω, ἔγειραι, ἆρον τὸν κράβαττόν σου, καὶ ὕπαγε B
εἰς τὸν οἶκόν σου· καὶ εὐθέως ἐγήγερτο ὁ ἄνθρωπος ὑγιὴς, καὶ τὸν κλίνην βαστάσας
Ματθ. Η, γ. αὐτὸν βαστάσας, περιεπάτει ὑγιής. Καὶ τῷ λεπρῷ εἶπε· θέλω, καθαρίσθητι.
Ἰωάν. Ια, λθ, μγ. καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. Τὸν δὲ Λάζαρον τεταρταῖον ἤγειρεν ὁ
Κύριος ἐκ νεκρῶν. Καὶ ἵνα μὴ καθ᾽ ἓν λέγοντες, δόξωμεν μηκύνειν τὸν
λόγον· τὰ γὰρ ἔργα αὐτοῦ ἀναρίθμητά εἰσι. Τῆς δὲ βρεξάσης αὐτοῦ τοὺς πόδας I.
τοῖς δάκρυσι, καὶ ταῖς θριξὶν αὐτῆς ἐκμαξάσης, λόγῳ αὐτῆς ἔλυσε τὰ ἁμαρ-
Ματθ. Θ, κϐ. τήματα. εἰπών· θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε. Πηγὴ γάρ ἐστιν ἀνεκ-
λιπὴς, ἴαμα τοῖς ἀνθρώποις βρύουσα. Μὴ οὖν δίσταζε. οὐ γὰρ ἀποβάλλεται σε-
Ματθ. Ζ, ια. σῶσαί σε θέλοντα, ὁ εἰπών· εἰ γὰρ ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ
διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, δώσει II.
ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; Πρόσελθε οὖν τῷ Πατρὶ τῶν οἰκτιρμῶν, ἐξομολο-
γούμενός σου τὰς ἁμαρτίας, μετὰ δακρύων λέγων.

Λυκ. Ιε, ιη, ιθ. Ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, καὶ
οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου, οὐδὲ ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ,
ἀπὸ πλήθους τῶν ἀδικιῶν μου, οὐδὲ ὀνομάσαι τὸ ὄνομά σου τὸ ἔνδοξον διὰ τῶν K.
χειλέων ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἀνάξιον γὰρ ἐμαυτὸν πεποίηκα τοῦ οὐρανοῦ καὶ τῆς
γῆς, σὲ παροργίσας τὸν ἀγαθὸν Δεσπότην. Δέομαι, Κύριε, δέομαι, μή με
ἀποῤῥίψῃς ἀπὸ τοῦ προσώπου σου, μηδὲ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ἵνα μὴ ἀπόλωμαι.
Ψαλμ. Ιη, μϐ. Εἰ μὴ γὰρ ἡ χείρ σου ἐσκέπασέ με, ἐπεὶ ἀπωλόμην ἤδη, καὶ ἤμην ὡς χοῦς
κατὰ πρόσωπον ἀνέμου, καὶ ἐγενόμην ὡς μὴ φανεὶς ποτὲ ἐν τῷ βίῳ τούτῳ. Ἀφ᾽ KA.
οὗ γὰρ κατέλιπόν σου τὴν ὁδὸν, οὐ συνήντησέ μοι ἡμέρα ἀγαθή· καὶ γὰρ ἡ ἐν
ἁμαρτίαις δοκοῦσα ἀγαθὴ ἡμέρα, τῆς πικροτάτης πικροτέρα ὑπάρχει. Καὶ
ἀπὸ τοῦ νῦν ἐλπίζω, τῆς χάριτός σου ἐνδυναμούσης με, φροντίσαι τῆς ἐμαυτοῦ
σωτηρίας. Καὶ νῦν προσπίπτω δεόμενος, ἀντιλαβοῦ με τοῦ πλανηθέντος ἀπὸ
Λυκ. Ιε, κα. ὁδοῦ δικαιοσύνης. Ἔκχεε ἐπ᾽ ἐμοῦ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὡς τῷ ἀσώτῳ Λ.
υἱῷ· ὅτι κατήσθιεν μου τὸν βίον, σκορπίσας τὸν πλοῦτον τῆς χάριτός μου. Ἐλέη-
Λυκ. Ζ, μη. Ματθ. Θ, θ. Μάρκ. Β, ιδ. Λυκ. Ε, κζ. σόν με, καὶ ἀναμιμνήσκου ἐπὶ τῷ πεφαυλισμένῳ μου βίῳ, ὡς τῇ ἁμαρτωλῷ,
καὶ τῷ τελώνῃ. Οἰκτείρησόν με ὡς τὸν λῃστήν. οὐδὲ γὰρ ἐπὶ γῆς ὢν, ἀπεγνώσθη
ὑπὸ πάντων· σὺ δὲ προσελάβου αὐτὸν, καὶ παραδείσου τῆς τρυφῆς οἰκήτορα κατ-
έστησας. Δέξαι καὶ ἐμοῦ τοῦ ἀχρείου δούλου σου τὴν μετάνοιαν, ὅτι κἀγὼ ἀπεγνώ- ΛΒ
Ματθ. Θ, ιγ. Μαρκ. Β, ιζ. Λυκ. Ε, λϐ. σθην ὑπὸ πάντων. Ἦλθες γὰρ, Κύριε, οὐ δικαίους σῶσαι, ἀλλὰ ἁμαρτωλοὺς
καλέσαι εἰς μετάνοιαν.

Πρόσευξαι· ἐξομολόγησαι· συνεργείτω ἡ πρᾶξις τῇ προσευχῇ, ὡς θυμίαμα
Ματθ. Ιε, κη. ἐνώπιον τοῦ Θεοῦ. Καὶ ἀκούσῃ, ὦ ἄνθρωπε, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι, ὡς
θέλεις. Ὁ δὲ Θεὸς, ὁ τῶν πεπλανημένων ὁδηγὸς, καὶ τῶν κατεῤῥαγμένων ἀνορθωτὴς, M
Ματθ. Κε, λγ. δῴη ἡμῖν ἐκτελέσαι βίον ἀκαταγνωστον, καὶ στῆσαι ἡμᾶς ἐκ δεξιῶν αὐτοῦ ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ ὁ δίκαιος Κριτής. Ὅτι αὐτῷ πρέπει ἡ δόξα, τιμὴ καὶ προσκύνησις, τῷ
Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΤΙ ΟΥ ΔΕΙ ΟΜΝΥΕΙΝ, ΟΥΤΕ ΔΥΣΦΗΜΕΙΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΕ.

ΤΟΥ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος, πάλιν ἠκούσατε Ματθ. Ε, λγ, λδ, λε, λς, λζ.
ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους
σου· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ
τοῦ Θεοῦ· μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσό-
λυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου Βασιλέως· μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς,
ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. Ἔστω δὲ ὑμῶν ὁ λό-
γος, Ναὶ, ναί, Οὒ, οὔ· τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ Διαβόλου ἐστί. Καὶ πῶς
ἡμεῖς τολμοῦμεν παραβαίνειν τὰς ἐντολὰς τοῦ πλάσαντος ἡμᾶς; κατὰ τὸ λεγόμενον·
καὶ ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Ψαλμ. Ογ, θ.
Καὶ τολμᾷς ἀνοίγειν σὺ τὸ στόμα ἀφόβως, καὶ ἀποστέλλειν λόγους εἰς οὐρανὸν, ὅρ-
κους τε, καὶ δυσφημίας; καὶ οὐ φοβῇ μήποτε ἔλθῃ ἐκεῖνο πετόμενον, ὃ ὁ Προφήτης Ζαχαρ. Ε, α, β, γ, δ.
ἐθεάσατο, καὶ καταλύσῃ ἐν τῷ οἴκῳ σου, ἕως οὗ ἐξαναλώσῃ σε ἐκ τοῦ ὑπ' οὐρανὸν, Αποκ. Δ, ιδ, ιε, ιζ, κ, κθ.
ἐν τῷ σὲ τολμᾷν ἀνοίγειν τὸ στόμα κατὰ τοῦ Παντοκράτορος Θεοῦ, εἰς ὃν ἄγγελοι
Χερουβὶμ καὶ Σεραφὶμ ἀτενίσαι οὐ τολμῶσιν, ἀλλὰ φόβῳ καὶ τρόμῳ παρίστανται
ὑμνοῦντες τὸ ὄνομα αὐτοῦ τὸ φοβερὸν καὶ ἔνδοξον, καὶ ἔντιμον. Καθὼς γέγραπται·
τολμηταὶ, αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦντες· ὅπου ἄγγελοι, ἰσχύϊ καὶ β Πέτρ. Β, ι, ια, ιβ, ιγ.
δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν βλάσφημον κρίσιν· οὗτοι δὲ
ὡς ἄλογα ζῶα, γεγεννημένα φυσικὰ εἰς ἅλωσιν καὶ φθορὰν, ἐν οἷς ἀγνοοῦσι
βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν φθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας.
Σὺ δὲ, ἄνθρωπος ὤν, οὐκ ἐπιγινώσκεις ἑαυτόν; ἢ δοκεῖς [illegible]
ἔχειν τὸ πρᾶγμα τοῦτο; ἐγὼ λέγω σοι, ἀλλ' εἰς ὄλεθρον καὶ ἀπώλειαν ἀπο-
βήσεταί σοι τὸ πρᾶγμα τοῦτο· ὅτι καὶ ἑτέρων ψυχὰς μολύνεις, συνεργὸς γινό-
μενος τοῦ Σατανᾶ, τοῦ Ἀποστόλου λέγοντος· διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς Κολοσ. Γ, ις.
ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ
Κυρίῳ. Σὺ δὲ ἀντὶ τούτων τὰ ἐναντία διδάσκεις, δυσφημίας καὶ ὅρκους· καὶ
ποιεῖς σεαυτὸν καὶ τοὺς μιμουμένους, εἰς τὴν σὴν ἀφροσύνην, υἱοὺς γεέννης. ὅτι τὸ
στόμα, ὃ ὁ Θεὸς ἐδημιούργησε πρὸς δοξολογίαν ἑαυτοῦ, σὺ τοῦτο πικρίας ἐνέπλη-
σας. Παῦσον λοιπὸν, ἄνθρωπε, μήποτε ὁ αὐτὸς λόγος, ὃν καταφρονεῖς, φλὸξ
γένηται ἐν τῷ στόματί σου, καὶ καταφλογίζῃ σου τὴν γλῶσσαν. Εἰ γὰρ ἄνθρωπος ἀν-
θρώπῳ ποιήσας μάχην, καὶ εἰρήνης γενομένης, αἰσχύνεται εἰς πρόσωπον αὐτοῦ ἐλ-
θεῖν, πῶς σὺ σήμερον ἐν τῷ κόσμῳ ἱστάμενος, καὶ αὔριον ἐν τῷ βήματι αὐτοῦ
μέλλων παραστῆναι, τολμᾷς τοιαῦτα λέγειν; καὶ οὐ φοβῇ μήποτε καταβῇ πῦρ
ἀπ' οὐρανοῦ, καὶ καταφάγῃ σε ἐν τῷ σε ἀνοίγειν τὸ στόμα κατὰ τοῦ Παντοκρά-
τορος; οὐδὲ ὑποψιάζῃ, μήποτε ῥαγῇ ἄφνω ἡ γῆ ὑποκάτωθέν σου, καὶ
καταφάγῃ σε; Μὴ ἀπατῶ, ἄνθρωπε· ἀδύνατόν γάρ ἐστιν ἐκφυγεῖν τὰς
χεῖρας τοῦ πλάσαντος ἡμᾶς. Ἄκουε τοῦ λέγοντος· βλασφημοῦντες, οἳ ἀποδώ- α Πέτρ. Δ, δ, ε.
σουσι λόγον τῷ Θεῷ, μέλλοντι κρίνειν ζῶντας καὶ νεκρούς. Ἕως πότε παροργίζομεν
τὸν τοσαῦτα ἀγαθὰ ἡμῖν δωρησάμενον, ὃς λαβὼν χοῦν ἀπὸ τῆς γῆς ἔπλασε τὸν Γένεσ. Β, ζ.
ἄνθρωπον, καὶ ἐνεφύσησεν εἰς αὐτὸν πνεῦμα ζωῆς· ὃς καὶ ὑπέταξε πάντα ὑπὸ Σοφ. Σιρ. ΙΖ, α. α Κορ. Ιε, κζ.

τοὺς πόδας αὐτοῦ· καθευδόντων ἡμῶν, φυλάττει· καὶ ἀνισταμένων, σκέπει· καὶ πεινώντων, τρέφει· γυμνητευόντων, ἐνδύει· ὀλιγοψυχούντων, παρακαλεῖ· παιδεύων καὶ ἐλεῶν· ὃς καὶ τὸν μονογενῆ αὐτοῦ Υἱὸν παρέδωκεν ὑπὲρ τῆς ἁπάντων ζωῆς. ἡμεῖς δὲ ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ, [illegible] τελέως [illegible] τὸ τέλος εἰς κενόν. [illegible] τῇ καρδίᾳ τῇ φιλανθρωπίᾳ καὶ [illegible] Θεοῦ, [illegible] φυλακὴν τῷ στόματί σου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Ὁρᾷς γὰρ τὸν Προφήτην πῶς ἔμφοβος καὶ ἔντρομος προσομιλῶν τῷ Θεῷ, διὰ τῆς καθαρᾶς προσευχῆς βοᾷ, λέγων· Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Καὶ πάλιν· ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ * καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ * ὑποκάτωθέν μου ἐταράχθη ἡ * ἰσχύς μου. Εἰ δὲ ἐπιμένομεν καταφρονοῦντες τοῦ ἐλέους Κυρίου, ἀκούσωμεν τοῦ Ἀποστόλου λέγοντος· Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Διὸ καὶ ἐν ἑτέρῳ λέγει· ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἄνθρωπος εἰς ἄνθρωπον, καὶ προσεύξονται περὶ αὐτοῦ πρὸς Κύριον· ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; Μετανοήσωμεν οὖν, ἀδελφοί. Ἕως πότε [illegible] ἡμᾶς; Ἐὰν τὰ [illegible] ἀπολέσωμεν, πῶς διατηρηθῶμεν ἐν καιρῷ χειμῶνος καὶ ταραχῆς; Ἐὰν τὸν Κύριον παροργίσωμεν νῦν, τίνα καταφευξόμεθα ἐν ὥρᾳ θλίψεως καὶ ἀνάγκης; Ἐγὼ, ἀγαπητοί, οὐχ ὡς ἔργῳ ἀλλὰ * ἀληθείᾳ δεξάμενος, ταῦτα ὑμῖν γεγράφηκα· ἀλλ' ὡς ἀδελφὸς συμβουλεύων. εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Διὸ καὶ ὑμᾶς παρακαλῶ ἐγὼ ὁ ἀχρεῖος τῶν ἀνθρώπων, δεηθῆναι ὑπὲρ ἐμοῦ πρὸς Κύριον, τοῦ ἐξαλειφθῆναι τὸ πλῆθος τῶν ἁμαρτιῶν μου πρὸ τοῦ τέλους, τοῦ μὴ καταισχυνθῆναί με ἀπὸ τῆς προσδοκίας μου. καὶ ἐν ὥρᾳ τοῦ θανάτου ἐπιβλέψει ἐπ' ἐμὲ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν αὐτοῦ. καὶ διὰ πιστῶν καὶ φωταγωγῶν ἀγγέλων ὁδηγήσει τὴν ἁμαρτωλόν μου ψυχὴν, σὺν δὲ ταῖς ὑμετέραις ψυχαῖς, εἰς τὴν ἀνάπαυσιν τῶν δικαίων. Οἶον γὰρ φόβον καὶ τρόμον δοκεῖτε ἔχειν τὴν ψυχὴν ἐν τῇ ὥρᾳ ἐκείνῃ; Εἰ γὰρ ὁ ἀποδημῶν εἰς χώραν μακρὰν, ἵσταται καὶ θαυμάζει, βλέπων λαὸν ξένον, καὶ ἀλλόγλωσσον γλῶσσαν, ἣν οὐδέποτε ἐθεάσατο· ἐν ποίῳ ἄρα φόβῳ δοκεῖτε εἶναι τὴν ψυχὴν, ὅταν [illegible] ἐκ τοῦ κόσμου τούτου εἰς τὸν μέλλοντα, ἐκεῖνον τότε, ὃν οὐδέποτε ἐθεάσατο; Τοιγαροῦν φροντίσωμεν τῶν ἐκεῖ, ἀγαπητοί, ἐν ὅλῃ ψυχῇ καὶ καρδίᾳ. Δουλεύσωμεν τῷ Θεῷ ἐν ὅλῃ ἰσχύϊ ἡμῶν. Τηρήσωμεν τὰς ἐντολὰς αὐτοῦ ἐν ὅλῃ δυνάμει. Ἀγαπήσωμεν τὸ φοβερὸν καὶ ὑπέρτιμον ὄνομα, καὶ τὸν πλησίον ὡς ἑαυτοὺς, ὅπως ἀξιωθῶμεν ἀκοῦσαι τῆς εὐλογημένης φωνῆς· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Εὐλογητὸς ὁ Θεὸς, ὁ ἐμπιπλῶν ἡμᾶς τῆς εὐλογίας αὐτοῦ. ὅτι εἰς πάντας τοὺς αἰῶνας τὸ ἔλεος αὐτοῦ. ἀμήν.

Εβρ. [illegible]
Ψαλμ. Ρμα, γ.
Αμβακ. Γ, β, ις. κτ. ό.
ἄλλ. κοιλία.
ἄλλ. ἐν ἐμοί.
ἄλλ. ἕξις μου.
Ρωμ. Β, δ, ε, ς.
α Βασιλ. Β, κε.
ἄλλ. ἀρετήν.
Ψαλμ. Ϟδ, ιζ. Να, θ.
Ματθ. ΚΕ, λθ. Μάρκ. ΙΒ, λα, λγ. Λουκ. Ι, κζ. Ματθ. ΚΕ, λδ.

ΠΡΟΣ ΑΔΕΛΦΟΝ ΛΟΓΟΣ ΕΙΡΗΤΑΙ, ΟΤΙ ΚΡΕΙΣΣΟΝ ΓΑΜΕΙΝ Η ΠΥΡΟΥΣΘΑΙ.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΔ.

E. ΑΚΟΥΕ τοῦ Ἀποστόλου λέγοντος· θέλω πάντας ἀνθρώπους εἶναι ὡς ἐμαυ- α Κορινθ. Ζ, ζ.
τόν, ἀλλ' ἕκαστος τὸ ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ· ὃς μὲν οὕτως, ὃς δὲ
οὕτως. Καὶ οὐδὲ τοῖς βιωτικοῖς ἀπεκώλυσε [illegible] γαμεῖν, οὐδὲ τοῖς ἀπο-
τακτικοῖς ἀνέκοψε τῆς ἐγκρατείας. Φησίν, Ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ·
ὃ μὲν οὕτως, ὃ δὲ οὕτως. Τοῖς γὰρ βιωτικοῖς ἐπιτρέπει, λέγων· διὰ δὲ τὰς πορνείας, α Κορινθ. Ζ, β.
I. ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. καὶ πάλιν· τίμιος ὁ γάμος ἐν πᾶσι· πόρνους Ἑβρ. Ιγ, δ.
δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Τοῖς δὲ ἀποτακτικοῖς ἀνέθετο τὴν ἐγκράτειαν, εἰπών·
πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. Διὰ [illegible] α Κορ. Θ, κε.
λόγος [illegible]. [illegible] μοναχέ, γνῶθι [illegible] ἐν ποίῳ τάγματι
κατετάγης, καὶ τί τὸ σημεῖον ὃ ἠμφιάσω, καὶ τίνας αἱ εὐχαί, καὶ αἱ συνθῆκαι
IE. ἃς συνέθου τῷ Θεῷ. Πρὸς αὐτοὺς καὶ τὸν λόγον [illegible], καθὼς εἶπεν ὁ Σωτήρ·
ἐκ τοῦ στόματός σου κρινῶ σε. Καθὼς οὖν προειρήκαμεν, τοῖς βιωτικοῖς ἐπ- Λουκ. Ιθ, κβ.
έτρεψε νομίμως γαμεῖν· τοῖς δὲ ἀποτακτικοῖς ἐγκρατεύεσθαι. Εἰ [illegible] τοῖς
πᾶσιν ἐπέτρεψεν ὁ λόγος κρεῖσσον γαμεῖν ἢ πυροῦσθαι· οὐκ ἂν [illegible]
ἀρετήν· οὐκ Ἠλίας ὁ Θεσβίτης, οὐκ Ἐλισσαῖος, οὔτε Ἰωάννης, [illegible]
K. χισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἀγγέλων [illegible] ἑαυτῶν
[illegible] τοῦ Θεοῦ· οὐδὲ ἂν δὲ [illegible] αὐτὸς ὁ Ἀπόστολος ἐνεκρατεύσατο, εἰ μὴ ἀπ-
έβλεπεν εἰς τὴν μισθαποδοσίαν. Μηδὲ δόξωμεν λέγειν, καθὼς τινὲς προφασί- Ἑβρ. Ια, κς.
ζονται· ἐκεῖνοι, φασί, δίκαιοι [illegible], ἐγὼ δὲ ἁμαρτωλός εἰμι. Δίκαιοι γὰρ
κατεστάθησαν, ὅτι δικαίως καὶ ὁσίως διῆξαν τὸν ἑαυτῶν βίον ὃν ἔζησαν. Τί οὖν
KE. ἐροῦμεν, ὅτι οἱ [illegible] ἀσώματοι ὑπῆρχον, καὶ αὐτοὶ οὐχὶ σῶμα [illegible]
Ἄκουε τοῦ Ἀποστόλου λέγοντος· ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρα- β Κορ. Ι, γ, δ.
τευόμεθα· τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ
πρὸς καθαίρεσιν ὀχυρωμάτων. Δῆλον οὖν ὅτι καὶ αὐτοὶ ἐπολιτεύσαντο, ὡς * σάρκα ἄλλ. σαρκικὰ φοροῦντες.
φοροῦντες· ἀλλ' ἀντηγωνίζοντο. Ὅθεν πάλιν ὁ Ἀπόστολος λέγει· ὑπωπιάζω
Λ. μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. α Κορ. Θ, κζ.
Χειραγωγῶν δὲ ὑμᾶς πρὸς τὴν ἀρετήν, λέγει· μιμηταί μου γίνεσθε, καθὼς α Κορ. Δ, ις. Ια, α.
κἀγὼ Χριστοῦ. Προσέχωμεν οὖν, ἀγαπητοὶ ἀδελφοί, μήποτε τὴν ἐπιθυμίαν
ἑαυτῶν πληρῶσαι βουλόμενοι, τῷ ἀποστολικῷ παραγγέλματι ἐπιρρίψωμεν τὸ
αἴτιον, τὴν [illegible] τοῦ λόγου μὴ ἐπιγνώσκοντες. διότι γέγραπται· ψυχαὶ δόλιοι Παροιμ. Ιγ, θ. Κθ, ς.
ΛE. πλανῶνται ἐν ἁμαρτίαις· καὶ πάλιν· ἁμαρτάνοντι ἀνδρὶ μεγάλη παγὶς, δίκαιος
δὲ ἐν χαρᾷ καὶ εὐφροσύνῃ ἔσται. Ἤκουσας, τί ἐκεῖνος ὁ ἐπιφέρει, λέγων· ὁ και- α Κορ. Ζ, κθ, λ, λα.
ρὸς συνεσταλμένος ἐστὶ τὸ λοιπόν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες
ὦσι· καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες· καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες·
καὶ οἱ * ἀγοράζοντες, ὡς μὴ κατέχοντες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ἄλλ. ἔχοντες.
M. ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. Διὸ μοναχέ, μὴ
ἀθέτει τὸν [illegible] σοι [illegible] τὴν χάριν. Μὴ [illegible]
λέγοντος διὰ τοῦ Ἀποστόλου· μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ α Τιμ. Δ, ιδ.

προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου, μήποτε παραβαίνων
Γαλάτ. Β, ιη. σεαυτὸν καταστήσῃς, οἰκοδομῶν πάλιν ἃ κατέλυσας. Ἀλλ' ἀπόδος τῷ Κυρίῳ
Εκκλησ. Ε, ε. τὰς εὐχάς σου, διότι γέγραπται· ἀγαθὸν τὸ μὴ εὔξασθαί σε, ἢ εὔξασθαι καὶ μὴ
ἀποδοῦναι. Ἀγωνίζου οὖν τελέσαι σου τὸν δρόμον νομίμως, ὅπως ἔξῃς παρρησίαν
β Τιμοθ. Δ, ζ. η. ἅμα τῷ Ἀποστόλῳ λέγειν· τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, E.
τὴν πίστιν τετήρηκα· λοιπὸν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀπο-
δώσει μοι Κύριος, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι
τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. ἀμήν.

ΠΕΡΙ ΦΟΒΟΥ ΘΕΟΥ.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΕ. I.

ΠΡΟΣΕΧΕ σεαυτῷ, ἀγαπητὲ, μήποτε ἐν ἀμελείᾳ καὶ μετεωρισμῷ
ἄλλ. προσέχε. ἀπολέσῃς σου τὸν χρόνον. *Προσέχωμεν τοῖς λεγομένοις διὰ τοῦ Κυρίου·
Ματθ. Κ, α. Μάρκ. ΙΑ, α. ἀμπελῶνα σεαυτῷ ἐφύτευσας· περίθες αὐτῷ φραγμόν. Παράδεισον ἐποίησας·
φύλαξαι τοὺς καρποὺς αὐτοῦ, ἵνα εὐφρανθῇς ἐπ' ἐσχάτων σου· καὶ μὴ ἀπολύε IE.
τὰς χεῖράς σου εἰς τοὺς κάμακάς σου, ἵνα μὴ λυμεῶνες γένωνται αὐτοῦ. Τί γὰρ τὸ ὄφε-
λος, ἀδελφοὶ, ἐὰν ἐπὶ σήμερον ἡσυχάσωμεν ἐν τῷ κελλίῳ, καὶ αὔριον ἐν τῇ πό-
λει καὶ εἰς τὰς κώμας διατρίβωμεν, ἃ μὴ ἀρέσκει Θεῷ ποιοῦντες; Τί τὸ ὄφε-
λος, ἀδελφοὶ, ἐὰν μίαν ἡμέραν οἰκοδομῶμεν, δύο δὲ καταστρέφωμεν;
Οὕτως οὖν ἐργαζομένων ἡμῶν, πῶς τελεσθήσεται τὸ ἔργον; Τί ἡμῖν καὶ τῷ κόσμῳ; K.
Περὶ τροφῆς ὁ λόγος; Ἀρκοῦσιν αἱ χεῖρες εἰς διακονίαν τῆς σαρκὸς ἡμῶν καὶ
αἱ πραγματεῖαι τοῦ βίου τούτου, τοῖς ἀποταξαμένοις τῷ κόσμῳ, τοῦ Κυρίου συνεργοῦν-
β Τιμ. Β, δ. τος ἡμῖν. Οὐδεὶς γὰρ στρατευόμενος, φησὶν, ἐμπλέκεται ταῖς τοῦ βίου πραγμα-
α Θεσ. Β, θ. τείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Καὶ πάλιν· νυκτὸς καὶ ἡμέρας ἐργαζό-
μενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα. Τί ἡμῖν καὶ ἡ ὁδὸς τῶν κωμῶν, μοναχέ; KE.
Εἰ γὰρ καθεζομένων ἡμῶν καὶ ἡσυχαζόντων ἐν τῷ κελλίῳ, τοῖς λογισμοῖς τῶν
παθῶν καὶ τῇ σκιᾷ τῶν πραγμάτων ἀντιστῆναι γενναίως μὴ δυνάμενοι, πῶς
ἴσως, σφάλα. οὐχὶ μᾶλλον ἀπάλαιστοι ἐσόμεθα, ἐὰν ἑαυτοὺς εἰς τὰ *σκύβαλα τῶν ἀλλοφύ-
ἴσ. ἐπιταγῶν. λων ἀπορρίψωμεν. Ἀλλὰ πολλάκις θέλει λέγειν, ὅτι κατ' *ἐπιταγὴν τῶν
ἡγουμένων, εἰς ἀνάγκας τῇ κώμῃ προσεγγίζομεν. Ἐὰν κατ' ἐπιταγὴν Λ.
καὶ ὑπακοὴν ταῦτα ποιῇς, ἀνέγκλητος εἶ, ἐὰν τὸ προσταχθέν σοι ποιῇς μετὰ φόβου
Θεοῦ. ἀλλ' εἰσί τινες, οἱ προφάσει ὑπακοῆς καὶ τὴν ἰδίαν ἐπιθυμίαν θέλοντες
ἐπιτελεῖν κατὰ τὸν παλαιὸν ἄνθρωπον. Θεράπευε οὖν ὡς σοφὸς, μὴ ἀντὶ χρυσίου καὶ
ἀργυρίου, εἰσοίσῃς ὄστρακα καὶ πηλὸν καὶ ἀντὶ ὑπακοῆς, παρακοὴν κατεργάσῃ.
Αριθ. ΙΓ, λα, λβ. Τί γὰρ ὠφελήθησαν οἱ πορευθέντες μετὰ Ἰησοῦ, υἱοῦ Ναυὴ, καὶ Χάλεβ, κατα- ΛΕ.
σκοπῆσαι τὴν γῆν; προφάσει γὰρ ὑπακοῆς παρακοὴν κατειργάσαντο, τὴν
ἀλήθειαν μὴ φυλάξαντες, καὶ τοῦ Κυρίου ἀποστάντες, καὶ διαστρέψαντες τὰς
καρδίας τῶν υἱῶν Ἰσραὴλ ἀπὸ Κυρίου. Σὺ οὖν ἀποστελλόμενος εἰς διακονίαν,
μετὰ φόβου Θεοῦ πρᾶττε, ὡς τοῦ Θεοῦ σκοποῦντος πάντοτε τὰ ἔργα σου. Ἐὰν προθύμως
διακονῇς τοῖς ἁγίοις, καὶ καταφρονῇς τὰ ἐναντία πράττων, τοῦ Θεοῦ κατα- M.
φρονεῖς, καὶ καταπιμπλᾷς τὰς ὀρέξεις σου. Κατεργαζόμενος, οὐχ εἰργάσω
ὑπακοὴν, ἀλλὰ παρακοήν. Γινώσκειν δὲ σε βούλομαι, ὅτι καθότι δοξάζει

τὸν Θεὸν εἶναι [illegible] ἐν τῷ μοναστηρίῳ [illegible] καὶ τῷ [illegible] Χριστῷ [illegible] ὅπως [illegible] εἰς σὲ [illegible] ἐν τῇ πόλει καὶ ἐν τῷ κόσμῳ [illegible] εἰ μὴ [illegible] Θεοῦ. Καὶ ποῖός σοι μισθὸς [illegible] παρ' ἀνθρώποις; [illegible] μοι [illegible] τὸν [illegible]
Ε. καὶ τῷ [illegible] ὁ Κύριος, καὶ ἔσται σοι [illegible] ἀρετῶν. Ἀλλὰ πολλάκις ὁ ἐχθρὸς [illegible] λέγων [illegible] ἀπώλεσα τὴν [illegible] σου. [illegible] γὰρ [illegible] ἐν τῷ κόσμῳ [illegible] μὴ [illegible] Καὶ σὺ [illegible] τοῦ κόσμου, μήποτε ἐν ἀσθενείᾳ [illegible]. Εἰπὲ [illegible] τῷ [illegible]
Ι. ἐὰν [illegible] ἐν τῇ [illegible] μου καὶ [illegible] μου [illegible]. Τί [illegible] τοῦ βήματος τοῦ Χριστοῦ; [illegible] πολλοὺς [illegible] καὶ [illegible] καὶ ἤδη ἐπὶ [illegible] Κυρίου [illegible]. Γαμ. Ιε, λγ.
Καὶ πῶς σὺ ἀπατᾷς με, λέγων, ὅτι [illegible] Εἰπεῖν [illegible] τότε τῷ Κριτῇ, ὅτι νεώτερος ὢν [illegible] Ματθ. ΚΕ, ιγ. Λουκ. ΙΓ, κα.
ΙΕ. μετανοήσω; Πάντας [illegible] καὶ [illegible] ἐπὶ [illegible] καὶ [illegible] σου [illegible] καὶ οὐκ [illegible] χρόνοις καὶ καιροὺς καὶ [illegible] μετανοίας· [illegible] χρόνον, ὃν δέδωκέ σοι εἰς μετάνοιαν, ἐν ἁμαρτίαις καὶ [illegible]. [illegible] ἀδελφὲ, ὅτι ἐὰν [illegible] τοῦ φόβου τοῦ Θεοῦ, καὶ τῇ ἁμαρτίᾳ
Κ. [illegible] ἑαυτὸν [illegible] οὐ [illegible] Τιμοθ. Ε, ϛ.
οὐ μόνον ἐν τῷ μέλλοντι αἰῶνι [illegible], ἀλλὰ καὶ ἐν τῷ νῦν αἰῶνι, [illegible] Λουκ. ϛ, κε.
μὴ μετανοήσῃ [illegible] ὁμοιωθήσεται [illegible] Ματθ. [illegible]
[illegible] αὐτὸ [illegible] εἰς [illegible] καὶ [illegible] αὐτὸ [illegible]. Ἐὰν δὲ [illegible] ἑαυτὸν ἀπὸ πάντων τούτων, καὶ τῷ Χριστῷ [illegible] βουληθῇς, τηρῶν
ΚΕ. σε τὴν ἁγνείαν τοῦ σώματος ἐν ἀγάπῃ Θεοῦ, [illegible] ἄλλ. [illegible]
[illegible] βασιλικῇ, καὶ [illegible] ἀνὰ μέσον τῆς ἀδελφότητος, καὶ [illegible] Κύριος. ὁ γὰρ φόβος τοῦ Θεοῦ, ὃν ἠγάπησας, ἔσται σοι τεῖχος, καὶ [illegible] χάριν ἐνώπιον τοῦ Θεοῦ καὶ ἀνθρώπων. Νῆφε οὖν, καὶ πρόσεχε σεαυτῷ, εἰδὼς τοῦτο, ὅτι οὐκ ἀγνοεῖ ὁ
Λ. ἐχθρὸς καὶ ἔσωθεν κλειδῶν καὶ μοχλῶν θηρεύειν ψυχὰς ἐν ἀμελείᾳ [illegible]. Ἀλλ' ἴσως ἐρεῖ τις [illegible], ὅτι [illegible] ἀντιστῆναί τινι, [illegible] συναπαγόμενος [illegible]. Μὴ [illegible] ἐν τούτῳ· οὐ γάρ ἐστιν αὕτη [illegible], ἀλλὰ [illegible] καὶ ἀφροσύνη. [illegible] Σοφίας λεγούσης· μὴ λάβῃς [illegible] Σοφ. Σειρ. Δ, κζ.
[illegible] τῆς ψυχῆς σου, καὶ μὴ αἰσχυνθῇς εἰς [illegible] σου. [illegible] τὸν λῃστὴν Ματθ. [illegible]
ΛΕ. διορύσσοντά σου τὸν τοῖχον τῆς οἰκίας, [illegible], καὶ [illegible] ἀποδιώκεις τὸν λῃστήν; Καὶ πῶς [illegible] τῆς ἁγνείας τοῦ σώματός σου οὐ φροντίζεις; ἀλλὰ [illegible] τὸν ναὸν τοῦ Θεοῦ εἰς φθοράν; Ὁρῶμεν γὰρ, ὁ Κύριος πῶς δοξάζει [illegible] ἐκ νεότητος [illegible] αὐτῷ ἄχρι γήρως. Εἶπε γὰρ [illegible] Ἱερεμίαν τὸν [illegible] ἐμνήσθην ἐλέους νεότητός σου, καὶ ἀγάπης τελειώσεώς σου, Ἱερεμ. Β, β.
Μ. τοῦ ἐξακολουθεῖν [illegible] ἁγίῳ Ἰσραήλ. Τὸν δὲ [illegible] ἐκ νεότητος ἄχρι γήρως [illegible] ὁ Προφήτης, [illegible] Δανιήλ.
[illegible] ἁμαρτίαι σου, ὡς [illegible]. Διὰ τοῦτο Σουσάν. ϛζ.

μακαρίζει τὸ Πνεῦμα τὸ ἅγιον τοὺς αἴροντας ἐφ᾽ ἑαυτοὺς τὸν ζυγὸν τοῦ Χριστοῦ,
Θρῆν. Γ, κζ. λέγον· ἀγαθὸν ἀνδρὶ, ὅταν ἄρῃ ζυγὸν ἐν νεότητος αὐτοῦ. Ἀναλάβωμεν οὖν, ἀγαπητοὶ, μήποτε ἡ πολλὴ μακροθυμία τοῦ Θεοῦ εἰς κρίμα ἡμῖν γένηται, ὅτι τὸ μὴ βούλεσθαι ἡμᾶς μετανοεῖν, ἀλλὰ καθ᾽ ἑκάστην ἡμέραν προστιθέναι ἐπὶ τὰ παραπτώματα ἡμῶν. Τίς ἄρα ἀναλογίζεται τὴν ἡμέραν τῆς κρίσεως, καὶ οὐ φρίττει; Καταφρονοῦντες μὴ τοῖς λεγομένοις, ἀγαπητοί· ἐν τῷ ἐλθεῖν τὸ θέρος ἢ τὰ χειμῶνα, ἐρεῖ τις· ἄλλοι δύο μῆνές εἰσι, καὶ παρέλθῃ τὰ καύματα. Τί ποιήσωμεν, ἀγαπητοὶ, ἐὰν καταδικασθῶμεν εἰς τὸ πῦρ τὸ αἰώνιον; Καὶ ἐν τῷ πάλιν τὸν χειμῶνα ἐλθεῖν, ἐρεῖ τις· ἄλλοι δύο ἢ τρεῖς μῆνές εἰσι, καὶ παρέλθῃ ἡ ψύχη. Τί ποιήσωμεν, ἀδελφοὶ, ἐὰν καταδικασθῶμεν εἰς τὰ κρυστάλλα τῆς γῆς μετὰ θάνατον; Ἐὰν δὲ καὶ ἀσθένεια περιπέσῃ τις, καὶ ὁ ὕπνος ἀπὸ τῆς ὄψεως αὐτοῦ νυκτὸς, πυκνῶς ἐνατενίζει ἐπὶ ταῖς θυρίσι τοῦ οἴκου, ἐπιποθῶν ἰδεῖν τὸ φῶς. Τί ποιήσωμεν, ἀδελφοὶ, ἐὰν καταδικασθῶμεν εἰς τὸ σκότος τὸ ἐξώ-
Ματθ. Κϐ, ιγ. Λυκ. Ιγ, κη. τερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅπου οὐκ ἔστιν ἐλπὶς ἰδεῖν τὸ φῶς εἰς ἀπεράντους αἰῶνας; Ὁμοίως δὲ καὶ ὁ ἀρρωστήσας, τὰς ἡμέρας, καὶ τὰς νύκτας, καὶ τὰ ἔτη ἀριθμεῖ, προσδεχόμενος τὸ τέλος τῆς καταστροφῆς· ἐν δὲ τῷ μέλλοντι αἰῶνι καταδικασθεὶς οὔτε ἡμέρας ἀριθμῆσαι δυνήσεται, οὔτε νύκτας, οὔτε μῆνας, οὔτε καιρούς. ἀπέραντοι γάρ εἰσιν οἱ αἰῶνες, καὶ ἀτελεύτητοι· ἐν οἷς οἱ νῦν πενθοῦντες καὶ κλαίοντες, παρακληθήσονταί τότε. ἡ δὲ σπαταλῶσα,
α Τιμοθ. Ε, ϛ. ζῶσα τέθνηκε, καθὼς λέγει ὁ Ἀπόστολος. Καὶ πάλιν ὁ Σωτήρ· οὐαὶ οἱ γε-
Λυκ. ϛ, κε. λῶντες νῦν, ὅτι κλαύσονται. Ἀναλάβωμεν οὖν, ἀγαπητοὶ, ἐκ τοῦ βίου τούτου
Ματθ. Ε, δ. πενθήσωμεν νῦν, ἵνα παρακληθῶμεν. ἡσυχάσωμεν ἐν ταπεινοφροσύνῃ εἰς τὰ κελλία ἑαυτῶν, ὅπως ἴδῃ ὁ Κύριος τὴν ταπείνωσιν ἡμῶν καὶ τὸν κόπον, καὶ ἀφήσῃ ἡμῖν πάσας τὰς ἁμαρτίας ἡμῶν. Γέγραπται γὰρ, ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν,
Ψαλμ. Ρλϛ, κγ. Ργ, ιγ. ἐμνήσθη ἡμῶν ὁ Κύριος. Καὶ πάλιν· καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. Δῴη δὲ ἡμῖν ὁ Κύριος ἐκτελεῖν βίον ἀκατάγνωστον, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ΠΕΡΙ ΑΓΑΠΗΣ.

ΠΑΡΑΙΝΕΣΙΣ Μϛ.

ΑΓΑΠΗΤΕ, ἐὰν ἀξιωθήσῃ γνώσεως ἢ διακρίσεως, εἴτε ἰαμάτων, ὅρα μήποτε θαῤῥῶν τῷ χαρίσματι, διατελέσῃς ἄχαριστος· ἵνα μὴ εἴπῃ,
Ματθ. Κε, λϐ. ΕΛΕΗΣΟΝ, καὶ ἀκούσῃς μετὰ τῶν ἐξ εὐωνύμων, ὅταν γ᾽ ἀφορίσῃ ὁ βασιλεὺς τοὺς
Ματθ. Ζ, κα, κϐ, κγ. δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν. γέγραπται γάρ· οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Διατί ἄρα; Ὅτι τὴν ἀγάπην οὐκ ἐφύλαξαν. Καθὼς γέ-
α Ιωάν. Δ, κ. γραπται· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ
Ματ. Ιϛ, μζ, μη. ἑώρακε, πῶς δύναται ἀγαπᾷν; Γέγραπται γάρ· ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς

τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. Καὶ ὁ Ἀπόστολος λέγει· Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται· οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐκ ἀσχημονεῖ, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Ἰδοὺ, ἤκουσας, ἀγαπητὲ, τὴν δύναμιν τῆς ἀγάπης. Τήρησον πίστιν ἐπαινετὴν ἐν πᾶσι τοῖς ἔργοις σου, καθ' ὅσον ὁδηγεῖ ἡ χάρις τοῦ Χριστοῦ, ὅπως κομίσῃ τὸν ἔπαινον παρὰ Θεοῦ. Παρακαλῶ δὲ ὑμᾶς, ἀγαπητοί μου ἀδελφοί, μέμνησθέ μου τοῦ ἀχρείου δούλου ἐν ταῖς προσευχαῖς ὑμῶν, ὅπως οἱ λόγοι μου μὴ γένωνται κατ' ἐμοῦ ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Σωτῆρος. Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα. Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλων τοὺς ὑπεναντίους [πλέον με]. Ἀλλὰ ὁ ὢν ἐλεήμων ὁ Κύριος σὺν ὑμῖν τοῖς ἐκλεκτοῖς αὐτοῦ διὰ τῶν οἰκτιρμῶν αὐτοῦ. Δώῃ δὲ ὁ Κύριος τὴν ἀγάπην αὐτοῦ ἐν ταῖς καρδίαις πάντων ἡμῶν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α Κορ. ΙΓ, λα.
α Κορ. ΙΓ, α, β, γ, δ, ε, ς, ζ, η.
Ματθ. Εβρ. ι, κζ.

* ΠΡΟΣ ΕΥΛΟΓΙΟΝ.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΖ.

ἄλλ. πρὸς Εὐλόγιον μοναχόν

Ἐπὶ τὸν καρπὸν τῆς ὑπακοῆς ἀφορῶν, ἀδελφὲ, ἐσπούδασα γράψαι σοι περὶ ὧν μοι προσέταξας. Ἀρχὴ ἀγαθῶν, φοβεῖσθαι τὸν Κύριον· γῆρας δὲ τίμιον ἐν ψυχῇ φιλοχρίστου. Ὁ προσέχων ἑαυτῷ, ἐν παντὶ τόπῳ σώζεται. Ὁ ἀγαπῶν συντυχίας κοσμικὰς, τὸν κόσμον ἔσω μεμίσηκεν. Ὥσπερ γὰρ ὁ ῥιπίζων πῦρ, ἐξεγείρει φλόγα· οὕτως καὶ κοσμικαὶ ὁμιλίαι ἐξεγείρουσι πάθη ἐν καρδίᾳ μοναχοῦ. Ὠφελῶν τοὺς παρατυγχάνοντας, ἀδελφὲ, σεαυτὸν μὴ βλάπτειν. Ὁ ἀγαπῶν συνομιλίαν γυναικῶν, ἐξεγείρει καθ' ἑαυτοῦ τὸν δαίμονα τῆς πορνείας. Ἀκολουθεῖ ἀγαθὴν οἰκέτας περὶ σὲ τὸ γνωρίσαντές σε, ὑπὲρ οἶνον καὶ κραιπάλην διαφθαρήσονται. Ὁ ἀγαπῶν μέθην, πολλὰ ζημιωθήσεται· λέγει γὰρ καὶ πράττει ἃ μὴ δεῖ, καὶ συλᾷ τὸν ἴδιον πλοῦτον, καὶ μεταδίδωσι τοῖς ἐχθροῖς, ὡς ἀλλότριον. ἡ γὰρ μέθη ἐσκότισεν αὐτοῦ τὴν διάνοιαν. Εὐλαβὴς γενοῦ, ἀδελφέ· ἡ γὰρ εὐλάβεια γεννᾷ εἰρηνικὴν κατάστασιν· εἰρηνικὴ δὲ κατάστασις τίκτει ἀπάθειαν. Ἔστω ἡ εὐλάβειά σου συνεζευγμένη τῇ ταπεινοφροσύνῃ, ὅπως γένῃ ἀληθινὸς μοναχὸς, καὶ κληρονομήσῃς τὴν ἀγάπην καὶ σωφροσύνην. Ἡ πολυλογία, ἀδελφὲ, σκοτοῖ διάνοιαν· διάνοια δὲ ἐσκοτισμένη ἄγει πρὸς τὴν ἀναισχυντίαν· ἀναισχυντία δὲ μήτηρ ἐστὶ τῆς πορνείας. Ὁ ἀγαπῶν σιωπὴν ἀπαρέσκως διαμένει· ἀλλ' οὐδὲ τὸν πλησίον παροξύνει. Τέλος δὲ καὶ παῤῥησία ὀρχαῖον, ὡς δηλητήριον, βλάψει τοὺς μοναχοὺς ἀσύμφορον. Τοὺς γὰρ νεοῦ

Ματθ. Ε, δ. πενθοῦντας καὶ κλαίοντας *ἐμακάρισεν ὁ Κύριος. Ἥδυσμά ἐστι μοναχῷ, σιωπή.
ἄλλ. μακαρίζει. Ἐπὶ τραπέζης δεῖ σιγᾶν. Ἀγάπα τὴν σιωπὴν, ἀγαπητὲ, ἵνα σοι διαμένῃ ἡ
εὐλάβεια. Φύλαττε δὲ τὴν εὐλάβειαν, ἵνα σε τηρήσῃ ἀπὸ τῆς πορνείας. Ὁ ἀντιλέ-
γων ἡγουμένῳ καὶ ἀνυποτακτῶν οὐ χρησιμεύει πρὸς ἔργον καλόν· ὁ δὲ ὑπακούων παρρη-
σίᾳ μειζοτέρᾳ, εὐφρανθήσεται μετὰ δικαίων. Ὁ καυχώμενος ἐπὶ ἰδίᾳ δυνά- E.
β Κορ. Ι, ιζ. μει ἀπωθεῖται ἀφ' ἑαυτοῦ τὴν βοήθειαν τοῦ Θεοῦ· ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ
καυχάσθω. Ὁ ἀγαπῶν περισπασμοὺς, καὶ μισῶν τὴν ἡσυχίαν, θλιβήσεται πολλά·
ὁ δὲ ἡσυχάζων ἐν ταπεινοφροσύνῃ, εὐφρανθήσεται ἐν τῷ Κυρίῳ. Ὁ μὴ προαι-
ρούμενος ἑστάναι καρτερῶς ἐν τῇ συνάξει, πολλὰ ζημιωθήσεται· ὁ δὲ ἑστὼς μετ'
εὐλαβείας καὶ ὑπομονῆς, εἰσακουσθήσεται. Ὁ ἀργολογῶν ἐν καιρῷ τῆς συνάξεως, I.
διπλῆν μέμψιν εὑρήσει, διότι καταργεῖ ἀπὸ τῆς εὐχῆς καὶ ψαλμῳδίας ὃν ἀμελεῖ,
ἅμα δὲ καὶ τὸν ἔγγιστα αὐτοῦ ἱσταμένους. Ὁ ἀγαπῶν ἄσκησιν, εὐσταθέστερος ἔσται·
ὁ δὲ ἀγαπῶν μέθην, εἰς οὐδὲν καρτερήσει. Ὁ μισῶν τὸ ἐργάζεσθαι, περίεργος
ἔσται, πολλὴν κακίαν ἐδίδαξεν ἡ ἀργία· ὁ δὲ ἀγαπῶν τὸ ἐργάζεσθαι, ἄλυπος
διαμένει. Ὁ καυχώμενος ἐν περιβολῇ γονέων, ἀδόκιμος ἔσται· ἐν γὰρ παρατάξει IE.
πολέμου οὐκ ὠφελοῦσιν αὐτόν. Τίμα, ἀδελφὲ, μικρούς τε καὶ μεγάλους, ἵνα σε
Ματθ. Κγ, ιβ. ὑψώσῃ ὁ Κύριος· ὁ γὰρ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Ταπείνωσον κεφαλὴν
Λουκ. Ιδ, ια. Ιη, ιδ. ἡγουμένῳ, καὶ τοῖς προεστῶσι *τῆς ἀδελφότητος ἐν Κυρίῳ ὑποτάγηθι· καρπὸς
ἄλλ. τῶν ἀδελφῶν. γὰρ τοῦ φόβου Κυρίου, ταπείνωσις. Ταπείνωσις δὲ οὐκ ἐν τῷ ταπεινωθῆναι τοῖς μει-
ζοτέροις ὑποφαίνεται, ἀλλ' ἐν τῷ καὶ τοῖς μικροτέροις ἀπονέμειν τιμήν. Γέ- K.
α Βασ. Β, λ. τῶν ο'. γραπται γάρ· ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω· ὁ δὲ ἐξουθενῶν με, ἀτιμα-
σθήσεται. Ἡμεῖς οὖν δοξάσωμεν αὐτὸν ἐν τῷ τηρεῖν τὰς ἐντολάς. Γέγραπται
α Κορ. Δ, κ. γάρ· οὐκ ἐν λόγῳ ἡ βασιλεία Θεοῦ, ἀλλ' ἐν δυνάμει. Καὶ πάλιν· οὐ πᾶς
Ματθ. Ζ, κα. ὁ μοὶ λέγων, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ
ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Πρὸ πάντων, ἀδελφὲ, φοβοῦ KE.
τὸν Κύριον ἐν ἀληθείᾳ, καὶ ὁ φόβος αὐτοῦ φωτιεῖ σου τοὺς ὀφθαλμοὺς τῆς δια-
νοίας. Ἀγάπα δὲ τὴν ταπεινοφροσύνην· ἡ γὰρ κατὰ Θεὸν ταπείνωσις, τεῖχός ἐστιν
ἄρρηκτον ἀπὸ προσώπου Ἐχθροῦ, καὶ πέτρα ἀντιδέρουσα καὶ συνθλάσασα τὰς
μηχανὰς καὶ τὰ βέλη τοῦ Πονηροῦ τὰ πεπυρωμένα. Ἐὰν θῇς ἐν τῷ λογισμῷ σου
ὑπομένειν, διὰ τὸν Κύριον, ὕβριν καὶ ζημίαν καὶ ἐξουδένωσιν, ἔσῃ ὥσπερ γενναῖος Λ.
πολεμιστὴς, καθωπλισμένος κατὰ τῶν ὑπεναντίων ἀεί· τότε καὶ οἱ ἐχθροὶ ὁρῶντές
σου τὴν τοσαύτην σπουδὴν, καταπτήξουσιν ἀπὸ προσώπου σου. Ἐὰν βούλει δρα-
μεῖν, κοπιάσαι δὲ μηδὲν, τί τὸ ὄφελος; Τὴν ἁγνείαν τοῦ σώματός σου φύ-
λαττε. ἡ ἀγάπη μήτηρ ἐστὶν τῶν ἀρετῶν, ἡ δὲ ἁγνεία λύχνος καὶ στήριγμα. Λύ-
χνος δὲ τούτων, ἡσυχία· τεῖχος δὲ αὐτῶν, φόβος Κυρίου. Τηρήσωμεν, ἀδελ- ΛE.
φοὶ, τὴν ἁγνείαν τοῦ σώματος ἡμῶν ἐν ἀγάπῃ Θεοῦ, ἵνα ἡμᾶς συγκαταριθμήσῃ
Κύριος μετὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων. Ἐπὶ τῷ ἀγαπῶντι τὴν ἁγνείαν, εὐφραί-
νεται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὴν ὑπομονὴν δωρεῖται αὐτῷ. Τοιγαροῦν ἡ ἁγνεία
κατορθοῦται δι' ἐγκρατείας καὶ πραότητος καὶ τῆς ἐν ἀγάπῃ ἡσυχίας. Ὅθεν χρὴ
β Θεσ. Γ, ς. ἡμᾶς στέλλεσθαι ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, μήποτε ὑποψίαν M.
Ρωμ. Ιβ, ιζ. δῶμεν τοῖς ἡμᾶς θεωροῦσι. Λέγει γὰρ ὁ Ἀπόστολος· προνοούμενοι καλὰ ἐνώπιον
α Κορ. Ια, ιε. Ιδ, λζ. Ι, κθ. Κυρίου καὶ ἀνθρώπων. Εἰ δέ τις φιλόνεικος ἐστιν, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχο-

μένων, οὐδὲ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Ἄκουε δὲ πάλιν αὐτοῦ λέγοντος· σὺ μὲν καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. Διατί γάρ, φησὶν, ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως. Ὅθεν ἀναγκαῖον παραδέχεσθαι παραίνεσιν ἀνθρώπων φοβουμένων τὸν Κύριον, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. κατὰ τὸν λέγοντα· ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω πρὸς οἰκοδομήν. καὶ πάλιν· ἵνα ἐντραπῇ ὁ ἐξ ἐναντίας, μηδὲν ἔχων φαῦλον πρᾶγμα. Εἶπε γὰρ ὁ Κύριος τῆς δόξης· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάζωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μηδὲ ἐν προφάσει μετανοίας, τὴν ἁγιότητα ἀπολέσωμεν. ἔθος γάρ ἐστι τῷ ἐχθρῷ διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν κατεργάζεσθαι. Ὁ γὰρ ἁμαρτάνων, καὶ δοκῶν κρύπτειν, ἀπατᾶται· οὐδὲ γὰρ κρυπτὸν, ὃ οὐκ ἀποκαλυφθήσεται. Ἐὰν ὑποβάλλῃ σοι ὁ ἐχθρὸς ἐπιθυμίαν σαρκὸς, εἰπὲ πρὸς αὐτόν· μή μοι γένοιτο ἔτι λυπῆσαι τὸ Πνεῦμα ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθην εἰς ἡμέραν ἀπολυτρώσεως. Ἀρκετὸς γάρ μοι ὁ παρεληλυθὼς χρόνος. Γέγραπται γάρ· πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ὁ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Περὶ δὲ τοῦ κατὰ διάνοιαν πολέμου ἐκ μέρους μεμάθηκα. Ἀδελφὸς γὰρ ἠρωτήθη ὑφ' ἑτέρου ἀδελφοῦ λέγοντος· οἱ ῥυπαροὶ λογισμοὶ ταράσσουσί με. Ὁ δὲ ἀπεκρίθη· οἱ ἅγιοι γέροντές τισιν ἐπέτρεπον τοὺς λογισμοὺς ἔνδον ἀφιέναι* εἰσελθεῖν, καὶ τότε πολεμεῖν πρὸς αὐτούς· τοῖς δὲ ἀσθενεστέροις μηδ' ὅλως συνομιλεῖν παρήγγελλον, μήποτε τῆς μνήμης ἐγχρονιζούσης γένηται πάθος δυσίατον. Τότε εἶπεν ὁ ἀδελφός· καὶ τί ἐστι τὸ ἔνδον ἀφιέναι τοὺς λογισμοὺς, καὶ τὸ πολεμεῖν πρὸς αὐτούς; Ἄκουε, φησίν· ἐὰν μὲν ἐπάγῃ ὁ ἐχθρὸς ἐνθύμησιν αἰσχρὰν καὶ λογισμοὺς ῥυπαρούς, αὐθὺς παρεισάγει κατὰ διάνοιαν γυναῖκα εὐπρόσωπον, ἤ τι τῶν ὁμοίων τῶν *ἀπαντώντων πρὸς φθοράν. Καὶ ταῦτα ὁρῶν ὁ κατὰ διάνοιαν πολεμῶν, οὐ ταράττεται ὑπὸ τῶν τοιούτων λογισμῶν, ἀλλ' ἵσταται γενναίως ἀπ' ἐναντίας αὐτῶν, πολεμῶν πρὸς αὐτοὺς σφοδρῶς. Εἶτα ἀνοίγει αὐτοῖς, καὶ ἀποκλείει αὐτοὺς τοὺς ἔνδον αὐτῶν γινομένων, καὶ τῆς ὕλης, δι' ἧς πολεμοῦσι, πρὸς αὐτοὺς καὶ λέγει· αὕτη ἐστὶν ἡ ἱσταμένη πρὸς ὑμᾶς, περὶ ἧς ἐνοχλεῖταί μοι καθ' ἑκάστην ἡμέραν· καὶ γὰρ καὶ φαντάζεταί μου τὴν διάνοιαν, ταράσσεταί μου τὴν ψυχήν. Θέλω οὖν γνῶναι ἀκριβῶς, τί αὐτῆς ἡ χρεία; Καὶ προστάσσει μάχαιραν αὐτῷ ἐνεχθῆναι κατὰ διάνοιαν, ἣν λαβὼν ἀναπτύσσει αὐτὴν ἐν τῇ γαστρὶ κατὰ διάνοιαν, λέγων· θέλω γνῶναι, τί ἄρα εὑρίσκω ἐν αὐτῇ, κάλλος ἢ σαπρίαν; καὶ ἀναπτύξας (φησὶ) τὴν κοιλίαν αὐτῆς, εὑρίσκει ἔνδον, ὕλας πάντας οἰδουμένας. Φανεροῦται γὰρ ἐκ μέρους ἡ αἰσχρότης τῆς ἐπιθυμίας. Οἱ οὖν ἐναντίοι, θεασάμενοι τὴν γενομένην αὐτοῖς ἧτταν, θορυβοῦσι *σκυλαλεῦσαι τοὺς λογισμοὺς τοῦ ἀδελφοῦ, φοβούμενοι ἵνα θολώσαντες τὴν διάνοιαν ὑφ' ἑτέρων λογισμῶν, καταργήσωσι τὸν ἐνεστῶτα ἀγῶνα, δειλιῶντες μήποτε φανερωθῇ αὐτῶν τελείως ἡ αἰσχύνη. Ὁ ἐξ ἐναντίας πολεμῶν πρὸς αὐτοὺς λέγει· Τί ἄλλα ἀντ' ἄλλων προσάγειν βούλεσθε; οὐ γὰρ ἐάσω ὑμᾶς ἐξελθεῖν, ἕως οὗ ἐρευνήσω πάντα ἀκριβῶς τὰ τοῦ πράγματος, εἰ ὄντως ἄξιόν ἐστιν ἀγαπήσεως, ὃ ὑμεῖς ἐπῃνέσατε. Τότε ἀποκλείει ὁ ἀδελφὸς τὸ πτῶμα ἐν τῷ ἐσωτέρῳ ταμείῳ, ἕως τριῶν ἡμερῶν ἢ τεσσάρων. Καὶ μετὰ ταῦτα ἀνοίγει ὁ ἀδελφὸς, θεασάμενος τὸ πτῶμα βου-

Ρωμ. ΙΕ, β.
Τίτ. Β, η.
Ματθ. Ε, ιϛ.
Ματθ. Ι, κϛ. Μάρκ. Δ, κβ. Λουκ. Η, ιζ. ΙΒ, β.
Εφεσ. Δ, λ.
α Κορινθ. ϛ, ιη.
χόλιον.
ἄλλ. ἀπαντώντων.
ἴσ. σκυλεῦσαι.

λόμθμος. Καὶ πρὸ τοῦ αὐτὸν εἰσιέναι ἔνδον, ἀπαντᾷ αὐτῷ ἡ ἀφόρητος ἐκείνη
δυσωδία· καὶ συμφράσσων τῇ χειρὶ τὸ στόμα σὺν τῇ ὀφρύσι, ἐνδύει ὑποδυ-
κνύων τοῖς ὑπεναντίοις λογισμοῖς, καὶ συνεργοῖς τῆς ἁμαρτίας, τὸ τέλος τοῦ
πράγματος. Εἶτα λέγει πρὸς αὐτούς· τί ἀποκρίνεσθε πρὸς ταῦτα; Οἱ δὲ
αἰσχυνόμενοι διαλυθήσονται, ὡσεὶ καπνὸς ἐν ἀέρι. Καὶ οὕτως γίνεται ὁ ἀδελ- E.
φὸς ὑψηλότερος τῶν παθῶν, τῆς χαρίτος συνεργούσης. Καὶ ἐξομολογούμενος
τῷ Κυρίῳ, λέγει· Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐ παρέδωκάς με εἰς
Ψαλμ. ϛα, γ. χεῖρας ἐχθρῶν μου, ἀλλ᾽ ἔσωσάς με ἐκ παγίδος θηρευτῶν. Καὶ ἡ σὴ χάρις,
Κύριε, ἐφώτισέ με τοῦ συνιέναι ταῦτα. οὐ γὰρ ἐν τῇ σοφίᾳ μου διεσώθην ἐκ τῆς
ἄλλως, Κυρίε. παγίδος αὐτῶν. Ἔχωμεν οὖν, ἀδελφοί, τὸν φόβον τοῦ * Θεοῦ πρὸ ὀφθαλμῶν I.
διαπαντός· ὅπως ἡμᾶς αὐτὸς σκεπάσῃ. δίχα γὰρ τῆς τοῦ Θεοῦ σκέπης, ἄνθρωπος
οὐδέν ἐστι. Πολλὴ γὰρ ἡ κακοτεχνία τῶν ἐχθρῶν ἡμῶν· ἀλλὰ ἰσχυροτέρα ἐστὶν
ἡ βοήθεια τοῦ Θεοῦ, κυκλοῦσα τὸν ἄνθρωπον. ἀλλ᾽ οὐ συγχωρούμεθα ἰδεῖν τοῖς
ὀφθαλμοῖς ἡμῶν. Ἀγαπήσωμεν οὖν τὸν Θεόν, τὸν βοηθοῦντα ἡμῖν, καὶ σώζοντα
Ματθ. ΚϚ, λϑ. Μάρκ. ΙϚ, λα. ἡμᾶς, ἐν ὅλῃ δυνάμει καὶ τὸν πλησίον, ὡς ἑαυτούς. Ἔχε κατὰ νοῦν τὴν ἡμέραν IE.
Λυκ. Ι, κζ. ἄλλ. ψυχοθίῳ. τῆς τελευτῆς σου, ἀγαπητὲ ἀδελφέ, ὅταν μέλλεις κατακεῖσθαι ἐν τῷ * ψιαθίῳ
σου ψυχορραγῶν. Οἴμοι, οἴμοι, οἷος φόβος περιέχει τὴν ψυχὴν ἐν ἐκείνῃ τῇ
ὥρᾳ, ἀγαπητὲ ἀδελφέ; Ἐάν τι ἀγαθὸν πεποίηκεν ἐν τῷ βίῳ τούτῳ, ἐν ᾧ παρ-
ῴκησεν ἐν αὐτῷ, ἐὰν θλίψιν καὶ ὀνειδισμὸν ὑπήνεγκε διὰ τὸν Κύριον, καὶ τὰ
ἄλλως, ἄρεστα. * ἀρεστὰ ἐνώπιον αὐτοῦ ἐποίησε, μετὰ χαρᾶς πολλῆς ἀνάγεται εἰς οὐρανούς, ὑπὸ K.
Ματθ. Κ, ιϑ. ἁγίων ἀγγέλων ὁδηγούμενη. Καθάπερ ἐργάτης μοχθῶν καὶ ἐργαζόμενος δι᾽
ὅλης ἡμέρας, προσδοκᾷ τὴν δωδεκάτην ὥραν, ἵνα μετὰ τὸν [illegible]κάματον δεξά-
μενος τὸν μισθὸν αὐτοῦ ἀναψύχῃ· οὕτω καὶ αἱ ψυχαὶ τῶν δικαίων τὴν ἡμέραν
ἐκείνην προσδέχονται, αἱ δὲ τῶν ἁμαρτωλῶν, φόβῳ καὶ τρόμῳ συνέχονται ἐν ἐκείνῃ
τῇ ὥρᾳ. Καθάπερ καταδίκος συλληφθεὶς ὑπὸ ὑπηρετῶν, καὶ ὑπ᾽ αὐτῶν KE.
ἀγόμενος εἰς κριτήρια· οὕτω καὶ αἱ ψυχαὶ τῶν ἀδίκων τρέμουσιν ἐν τῇ ὥρᾳ ἐκείνῃ,
ἀφορῶσαι εἰς τὴν ἀτελεύτητον βάσανον τοῦ αἰωνίου σκότους. Κἂν τις εἴπῃ·
ἄφετέ με πορευθῆναι εἰς ἐκεῖνον τὸν κόσμον, ὅπως τοῦ λοιποῦ μετανοήσω· οὐκ
ἔσται ὁ ἀπολύων. Ἀκούεται γὰρ ὁ τοιοῦτος, ὅτε εἶχες καιρὸν οὐκ ἐμετενόεις, καὶ
ἄρτι ἦλθες μετανοῆσαι, ὅτε ἀνέῳκται τὸ στάδιον ἅπασιν; Οὐκ ἠγωνίζου, καὶ νῦν Λ.
θέλεις ἀγωνίσασθαι, ὅτε πᾶσαι αἱ θύραι ἐκλείσθησαν, καὶ ὁ καιρὸς τοῦ ἀγῶνος
Ματθ. ΚΔ, μϚ. Κε, ιγ. παρῆλθεν. Οὐκ ἤκουσας τοῦ λέγοντος· γρηγορεῖτε, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν,
ἄλλ. — νόσκοντες, — πιτοὶ ἀδελφοί. οὐδὲ τὴν ὥραν. Ταῦτα δὲ * προγινώσκων, ἀγαπητὲ ἀδελφέ, ὡς καιρὸν ἔχο-
μεν, μετανοήσωμεν, ὅπως ἐλεήσῃ ἡμᾶς ὁ Θεὸς ἐκ τῆς ὀργῆς τῆς ἐρχομένης
ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, καὶ ἀξιώσῃ ἡμᾶς εἰς τὴν μερίδα τῶν ἁγίων. Εὔξασθε καὶ ΛB.
ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, τοῦ λέγοντος, καὶ μὴ ποιοῦντος. Γέγραπται γάρ· ἐξομο-
Ιάκ. Ε, ιϛ. λογεῖσθε ἀλλήλοις τὰς ἁμαρτίας, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε ἐν τῷ
ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΡΟΣ ΑΚΗΔΙΑΣΤΗΝ ΜΟΝΑΧΟΝ ΛΕΓΟΝΤΑ· ΑΦΙΗΜΙ, ΕΙΣ ΤΟΝ ΚΟΣΜΟΝ ΥΠΑΓΩ.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΗ.

E. ΕΦΗ ὁ Θεὸς τῆς δόξης· εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα καὶ Ματθ. Ζ, ιγ, ιδ.
εὐρύχωρος ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν Λουκ. Ιγ, κδ.
οἱ διέρχοντες αὐτήν. Τί στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα
εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν; Καὶ τίς
ἐστιν ὁ εὑρὼν αὐτὴν, καὶ ἀναγγέλλει ἡμῖν τὴν ὁδὸν αὐτῆς; Οἱ ἅγιοι πάντες.
I. Εἰς ἣν ἔδραμε τὸ σκεῦος τῆς ἐκλογῆς, Παῦλος, καὶ τελέσας τὸν δρόμον, τὸν Πράξ. Θ, ιε.
στέφανον ἐκομίσατο. Διὸ καὶ ἀναγγέλλει ἡμῖν τὴν ὁδὸν αὐτῆς, λέγων· Ἐν παντὶ
συνιστῶντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι· ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν β Κορ. ς, δ, ε,
ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν ς, ζ, η, θ, ι.
κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ,
IE. ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν
δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ
δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς· ὡς
ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παι-
δευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοὶ,
K. πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. Καὶ ἡ ἐλπὶς
ἡμῶν βεβαία ὑπὲρ ὑμῶν, εἰδότες ὡς κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς β Κορ. Α, ς, ζ.
παρακλήσεως. Τοιγαροῦν καὶ ἡμεῖς, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν τὴν αὐτὴν ὁδὸν
κατέχειν ἄχρι τέλους, εἰς ἣν καὶ ἐπορεύθημεν. Ἡσυχαστὴς εἶ; Ἀναλόγισαι τοὺς
ἐν ταῖς φυλακαῖς κατακεκλεισμένους, ὅτι οὐ μόνον κατακεκλεισμένοι εἰσὶν, ἀλλὰ
KE. καὶ σίδηρος περίκειται αὐτοῖς περὶ τὸν τράχηλον· οἱ δὲ καὶ ἐν ξύλῳ βέβληνται.
Ἐρημίτης εἶ; Ἀναλόγισαι τοὺς ποιμένας τῶν προβάτων, οἵους κινδύνους ὑπο-
μένουσιν ἐν ταῖς ἐρήμοις καὶ ὄρεσι, καὶ τῷ μὲν χειμῶνι συφόμενοι ὑπὸ τοῦ ψύχους, τῷ
δὲ θέρει συγκαιόμενοι ὑπὸ τῶν ἀκτίνων τοῦ Ἡλίου. Ἐν κοινοβίῳ εἶ; Ἐννόησον τὸ
γεγραμμένον· τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ ψυχὴ καὶ ἡ καρδία μία, Πράξ. Δ, λβ.
Λ. καὶ οὐδεὶς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς πάντα κοινά.
Τὴν σειρὰν ἐργάζῃ; Ἀναλόγισαι τοὺς τὴν θάλασσαν πλέοντας. οὗτοι γὰρ θαλασ-
σομαχοῦντες τὴν αὐτὴν τέχνην ἐγχειρίζουσι. Τὰ μικρὰ σπυρίδια ἐργάζῃ, τὰ
λεγόμενα μαλάκια; Ἀναλόγισαι τοὺς βρεγκαρίους. * Καλλιγράφος ἐργάζῃ; * ἄλλ. βιβλάρια ἐργάζῃ;
Ἀναλόγισαι τοὺς κλείστας καὶ † λεπτουργούς. πλὴν μὴ διάστρεφε θείους λόγους † ἄλλ. λιθουργούς.
ΛΕ. γεγραμμένους ἐν πίστει καὶ ἀληθείᾳ. τί γὰρ τούτου μεῖζον ἁμάρτημά ἐστι· τὸ ποιεῖν
τὸ γλυκὺ, πικρόν· καὶ τὸ πικρὸν, γλυκύ· τὸ φῶς, σκότος· καὶ τὸ σκότος, φῶς, Ησ. Ε, κ.
ἐπὶ καταστροφῇ τῶν ἀναγινωσκόντων; οὐαὶ τῷ ποιοῦντι ταῦτα· τίθησι γὰρ σκάν-
δαλα ψυχῶν ὁ τοιοῦτος. Τὸ κεντητὸν ἐργάζῃ; * Ἀναλόγισαι τοὺς μαρμαρο- λείπει τινά.
πρίζοντας. Χαρτοκόκκινα ἐργάζῃ; Ἀναλόγισαι τοὺς λωροτόμους. Τὸ σχοῖνον
M. ἐργάζῃ; Ἀναλόγισαι τοὺς καναβαρίους. Καννοπλόκος ἐργάζῃ; Ἀναλόγισαι
τοὺς τὴν αὐτὴν τέχνην ἐγχειρίζοντας κοσμικούς. Τὸ σκολάκια ἐργάζῃ, ἤτοι τὰ
* ἐξαίαν; Ἀναλόγισαι τοὺς φασκιαρίους. Τὸ λίνον ἐργάζῃ; Ἀναλόγισαι τοὺς ἴσ. κεραίας.

ἴσ. σιπιαρίους. ἢ, σπιαρίους. λινυφεῖς. Λινυφικὸν ἐργάζῃ; Ἀναλόγισαι τοὺς * σιπιαρίους. Ἐν τῷ ἀρτοκοπείῳ
σε κατέστησαν; Ἀναλόγισαι τοὺς δημοσιαρίους. Ἐν τῷ κήπῳ σε κατέστησαν; Ἐν-
νόησον τοὺς γναφεῖς, οἵτινες τὸν χειμῶνα ὡς τὸ θέρος ἐπιτελοῦσι, ποιοῦντες τὴν
ἐργασίαν ἐν ὕδασιν. Ἐν τῷ μαγειρείῳ σε κατέστησαν; Ἀναλόγισαι τοὺς βαφεῖς,
εἴτε τοὺς τὴν χαλκευτικὴν τέχνην ἐργαζομένους, οἵτινες τὴν νύκτα ὡς ἡμέραν B.
ἐπιτελοῦσι τῷ πυρὶ ἀντιπαλαιόμενοι, καὶ τῇ ἐξουσίᾳ ὑποτασσόμενοι, καὶ ὑπο-
μένουσιν ἐνοχλούμενοι· καὶ ὑπὸ ἀρχόντων πολλάκις βιαζόμενοι, τὸ ἔργον τῆς ἐρ-
γασίας οὐκ ἀμελοῦσι. Θυρωρόν σε κατέστησαν; Ἀναλόγισαι τοὺς ὑπηρέτας τῶν
ἐπιγείων ἀρχόντων. Διακονητήν σε κατέστησαν, ἤτοι οἰκονόμον, ἤτοι ἡγούμενον;
α Πέτρ. Ε, α, β, γ, δ. Ἐννόησον τὸν εἰπόντα· Πρεσβυτέρους οὖν παρακαλῶ τοὺς ἐν ὑμῖν, ὁ συμπρεσβύ- I.
τερος, καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης δόξης ἀποκα-
λύπτεσθαι κοινωνός, ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, μὴ αἰσχροκερδῶς,
ἀλλὰ προθύμως· μηδὲ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι
τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ Ἀρχιποίμενος Χριστοῦ, κομιεῖσθε τὸν ἀμαράν-
τινον τῆς δόξης στέφανον. Καὶ ἵνα μὴ καθ' ἕνα λέγοντες, δόξωμεν μηκύνειν τὸν IA.
λόγον· Πᾶν ὅ, τι ἐὰν ἐργάζῃ, καὶ ἐπαγάγῃ σοι ὁ Ἐχθρὸς ἀκηδίαν ἐν τῷ ἔργῳ, τὴν
καθ' ὁμοιότητα τέχνην ἐγχείρησον πρὸς ἀντίρρησιν τοῦ Ἀντιπάλου. Πᾶν δὲ, ὅπερ
ἂν ποιῇς, εἴτε ἐν ἔργῳ, ἢ ἐν λόγῳ, μάρτυρα ἔχε τὸ συνειδός σου, ὅτι κατὰ Θεόν ἐστι
τὸ γινόμενον, καὶ σώζῃ. Λέγε δέ μοι καὶ αὐτὸς, παρακαλῶ, ὅτι ἐὰν ἀρνησάμενος
τὴν χάριν τοῦ καλέσαντός σε εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν καὶ δόξαν, καὶ πορευ- K.
θεὶς εἰς τὸν κόσμον, τί μέλλεις ποιεῖν, ὡς ὑπολαμβάνει σε ὁ λογισμός; Μᾶλ-
λον δὲ, τί σοι ἐνέβαλεν ὁ Πολέμιος τῶν ψυχῶν ἡμῶν; Ὅτι ἐὰν ἀθετήσῃς τὴν
χάριν τὴν δοθεῖσάν σοι, βασιλεῦσαι ἔχεις; Εἰ δὲ καὶ βασιλεύσῃς, οὐχὶ θάνα-
τός σε διαδέξεται; Εἰ δὲ καὶ οὐσίας πολλὰς κληρονομήσῃς, καὶ σκορπίσῃς αὐτὴν
εἰς πλῆθος, οὐχὶ ἄλλοις αὐτὰ καταλιπὼν, γυμνὸς ἀπελεύσῃ ἐκεῖθεν; κατὰ τὸ KE.
α Τιμοθ. ς, ζ. λόγιον τοῦ Ἀποστόλου. Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, οὐδὲ ἐξενεγκεῖν τι
Γαλάτ. ς, η. δυνάμεθα. Ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώ-
νιον. Κατὰ ἄνθρωπον λέγω· ἐὰν ἧς ἀπαρνησάμενος τὴν χάριν τοῦ Κυρίου, οὐ
μὴ καταλάβῃς τὰς προτέρας ὑπολήψεις, ἃς εἶχες παρὰ τοῦ ἐναρξαμένου σε ἐν
τῷ μονήρει βίῳ· ἀλλὰ γείτοσί τε καὶ φίλοις, οἰκείοις τε καὶ συγγενέσι καταγέλαστος M.
ἔσῃ. Τίς γὰρ ἠνάγκασέ σε ἐνάρξασθαι ἔργον, ὃ οὐκ ἐδύνω πληρῶσαι; Εἰ καὶ
Δευτερ. Κ, η. τῶν ό. ὁ νόμος οὐ λέγει τοῦτο; Ἐν γὰρ τῷ νόμῳ γέγραπται· εἴ τις ἔστιν ἀνὴρ φοβούμενος
καὶ δειλὸς τῇ καρδίᾳ, μὴ ἐκπορευέσθω εἰς πόλεμον· ἀποστραφήτω εἰς τὸν οἶκον
αὐτοῦ· ἵνα μὴ δειλιάσῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ. Νῦν οὖν ὃ ἤρξω, ἐπι-
τέλεσον. Εἰ δὲ καὶ προελήφθης ἐν παραπτώματί τινι, μὴ ἔμμενε εἰς τὸ πλῆμμα· ΛΕ.
ἀλλ' ἐπίστρεψον πρὸς Κύριον ἐν ἀληθείᾳ. ἔστιν ἐν οὐρανῷ ὁ ἐξαλείφων τὰς
ἁμαρτίας τῶν ἐπιστρεφόντων πρὸς αὐτόν. Μόνον μὴ συγκατάθου τῷ λογισμῷ
τῆς κακοφροσύνης. Οὔτε γὰρ λέοντες, οὔτε δράκοντες, οὔτε βάρβαροι βλάψαι
δύνανται, ὅσον ἡ κακοφροσύνη τοῖς πειθαρχοῦσιν αὐτῇ. Πολλοὶ γὰρ ταύτην
ἀποσεισάμενοι, τὴν αἰσχύνην, καὶ τοῖς ἔργοις αὐτῆς μὴ κοινωνήσαντες, ὑπὸ βαρ- M.
βάρων ἐτιμήθησαν· καὶ λέοντες καὶ δράκοντες ᾐδέσθησαν αὐτούς. Φλὸξ πυρὸς οὐκ
ἴσχυσε φλογίσαι τρίχας τῆς κεφαλῆς αὐτῶν· οὔτε εὑρέθη ἐν αὐτοῖς ὕλη κακίας.

Ἡ δὲ κακοφροσύνη ἀνηλεῶς κόπτει τοὺς ἐραστὰς αὐτῆς· οὐ γάρ ἐστι κακία, ἧς οὐκ ἔστι μήτηρ ἡ κακοφροσύνη. Ἡ μὲν γὰρ φιλαργυρία δηλονότι ῥίζα ὑπάρχει πάντων τῶν κακῶν· κατὰ τὸ λέγον τοῦ Ἀποστόλου λόγιον· ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία. Ἡ δὲ ῥίζα * ἐπ' αὐτῆς πεφύτευται. αὕτη γὰρ ἐκτρέφει, καὶ αὔξει (α Τιμ. ϛ, ι.) (ἄλλ. ἀπ' αὐτῆς)

Ε. τὰ τῆς κακίας πελάγη. Τί ταύτης χαλεπώτερον ἐν κόσμῳ, ἢ τίς τοὺς ἐραστὰς αὐτῆς ἐκδότους παραδίδωσι, καὶ φυγάδας αὐτοὺς περιπλανᾷ ὁμοίως. Φεύγει γὰρ ὁ ἀσεβὴς, μηδενὸς διώκοντος· ὁ δὲ δίκαιος πέποιθεν, ὥσπερ λέων, ἐν τῇ αὐτοῦ πολλῇ παρρησίᾳ. Ὁ δὲ κατασχεθεὶς ὑπ' αὐτῆς βαρβάρων χειρῶν καλινδεῖται, οὐκ ἐπὶ ξένης γῆς, ἀλλ' ἔνθα ἐγεννήθη, ἔνθα ἀνετράφη, καὶ ὑπὸ ἰδίων συμφυλετῶν (Παροιμ. Κη, α.)

Ι. καταικιζόμενος, καὶ οὐδεὶς περὶ τούτου δεόμενος, κατὰ τὸ κρυπτὸν ἐκφέρεται τοῦτο τὰ βασανιστήρια, ἀλλ' ἐμφανῶς, οὐ διὰ ἀγαθοεργίας, ἀλλὰ διὰ κακοφροσύνης. Τοὺς γὰρ πεσόντας δι' αὐτῆς πάντες καταγελῶσι, πάντες τούτους αἰτιῶνται. Οὐδεὶς ὁ βοηθῶν, οὐδεὶς ὁ ῥυόμενος. Ἐὰν ἐξακολουθήσῃς τῇ κακοφροσύνῃ, κατάξει σε εἰς τὰ ταμεῖα τοῦ ᾅδου. Αὕτη καὶ δυνάστας κατέστρε-

ΙΕ. ψε, καὶ οἴκους ἠρήμωσε, καὶ βασιλεῖς κατέλυσε, καὶ εἰς πτῶσιν παρέδωκεν. * Ἀπόστα ἀπ' αὐτῆς, ἀγαπητὲ ἀδελφέ· μὴ σὺ συνδεσμευθῇς τοῖς δεσμοῖς αὐτῆς· δεσμοὶ σιδηροῖ, καὶ * αἱ πέδαι αὐτῆς χαλκαῖ. Αὕτη κατέστρεψεν ἀσφαλῶς τοὺς ἀγαπῶντας αὐτήν. Ἐν τῇ ζωῇ ταύτῃ πλάνη αὐτῆς γέγονεν ἐξαίσιον, καὶ μετὰ θάνατον ὄλεθρος. Καὶ τί τὸ ἴδιον αὐτῆς, ἀλλ' ἡ κακοφροσύνη; Μισεῖ τὴν ἀλήθειαν, (ἄλλ. ἀπόστα οὖν ἀπόστα ἀπ' αὐτ.) (ἄλλ. οἱ πόδες — χαλκοῖ.)

Κ. ἀγαπᾷ τὸ ψεῦδος, παιδείαν οὐ προσδέχεται, νουθεσίαν δὲ ἀποβάλλεται, δόλους τρέφει, Θεοῦ καταφρονεῖ, ἀνθρώπους οὐκ ἐντρέπεται. Ἀρχὴ αὐτῆς, ἀφοβία Θεοῦ· τέλος δὲ αὐτῆς, ὄλεθρος καὶ ἀπωλείας κληρονομία. Κύριε, Κύριε, ὁ ἀνοίξας ὀφθαλμοὺς τυφλοῦ ἐκ γεννητῆς, ἄνοιξον τοὺς ὀφθαλμοὺς τῆς καρδίας ἡμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς τοὺς βρόχους αὐτῆς. Μὴ οὖν ἀθετήσωμεν τὴν χάριν τοῦ (Ἰωάν. Θ, λβ.)

ΚΒ. Θεοῦ, ἀγαπητέ. Ἢ οὐκ οἶδας, ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ περιλαμβανομένοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας; Τί δέ ἐστιν ἡ * θλῖψις, ἢ τὴν κάμινον, ἥτις κατέφαγε τὰ ἐπικείμενα ξύλα, καὶ οὐδέπω ἐσβέσθη καὶ τηλικαύτη φλὸξ εἰς τέφραν καὶ κόνιν ἀπῆλθεν. Ὁ δὲ ὑπομένων θλῖψιν διὰ τὸν Κύριον, ὅμοιός ἐστι τῷ οἰκοδο- (Ματθ. Ιη, ιγ.) (λείπει πρό.)

Λ. μοῦντι τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν. Διό, ἀδελφέ, ἀνάκυψον πρὸς Κύριον, παρακαλῶ. Μὴ ἀθυμήσωμεν τοῦ ἐπιστρέφειν ἐπὶ τὰ κρίματα τοῦ Θεοῦ, παρακαλῶ, καὶ τῆς φύσεως ἡμῶν τὸ ἀσθενές. Τί ἐλαχιστότερον κώνωπος, καὶ τὴν τούτου ἀπειλὴν οὐ δυνάμεθα φέρειν. Τί ποιήσωμεν τὸν ἰοβόλον καὶ ἀκοίμητον σκώληκα. Ἑσπέρας δὲ γινομένης, ἐρεῖ τις, ἅψον λύχνον, ὅτι σκοτία ἐστί. Τί ποιήσωμεν τὸ σκότος (Λουκ. Ζ, μη.) (Μάρκ. Θ, μδ.)

ΛΕ. ἐκεῖνο τὸ ζοφερὸν καὶ ἀφεγγές; Ἐὰν δὲ καύσῃ τις ὑπὸ τῶν ἀκτίνων τοῦ ἡλίου ὑπὸ τὴν σκιὰν φεύγει. Τί ποιήσωμεν τὴν ἄσβεστον * γέενναν τοῦ πυρός; Λάβωμεν ὑπόδειγμα, ἀγαπητοί, ἐκ τῶν ὁρωμένων πραγμάτων, περὶ τῆς μελλούσης κρίσεως, ἐν τῷ αἰῶνι τούτῳ. Ἐάν τις πράξῃ φαῦλον, καὶ γνωσθῇ, καὶ παραπεμφθῇ εἰς φυλακὴν ὑπὸ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, ἐν ποίᾳ αἰσχύνῃ (ἄλλ. φλόγα.)

Μ. καὶ θλίψει ἔσται ἡ ψυχὴ αὐτοῦ ἐν αὐτῇ; Εἰ δὲ πολλάκις καὶ ὑπὸ οἰκείων ἱκετευόμενος καὶ ὑπὸ συγγενῶν παρακαλούμενος, καὶ ὑπὸ φίλων παρακαλούμενος, καὶ ὑπὸ γνωρίμων συνεχῶς ἐπισκεπτόμενος, καὶ ταῦτα οὕτως ἔχων, οὐκ ἀφίεται;

ἡ λύπη ἀπ' αὐτοῦ. Τέλος δὲ, εἴτε διὰ τὸ τῶν φίλων παραμυθίας, προσδρομῆς
τε, καὶ παρακλήσεως, εἴτε καὶ διὰ δόσεως χρημάτων ἴσως ἐλπίδας ἔχει ποτὲ
καιρῷ, τῆς φυλακῆς ἀπαλλαγῆναι. Ἐκεῖ δὲ ὁ καταδικασθεὶς ὑπὸ τῶν ἰδίων ἔργων,
ἄλλ. παρακαλουμένη. οὐκ ἔχει τὸν παρακαλοῦντα. οὐ πατὴρ προσέχει· οὐ μήτηρ * παρακαθημένη
καὶ παραμυθουμένη· οὐ συμπάθεια γυναικὸς, οὐ φίλων· οὐκ ἀγγελία ἀγαθὴ,
οὔτε ἀκοὴ εἰρήνης· οὔτε φῶς, οὔτε ὀρνέων ἦχος εὐμελής· οὐ τρόπων ἐναλλαγὴ, καὶ
ἄλλ. φωνὴ μουσικῶν καὶ χαρμοσύνη. μεταβολὴ καιρῶν, οὔτε * φωνῆς μουσικῶν, καὶ χαρμοσύνης. Πάντα γὰρ ταῦτα
ἤρθη ἐξ ἀσεβῶν· ἡ δὲ μερὶς αὐτῶν, τὰ ἐναντία. Καθὼς γέγραπται· Ἐπιβρέξει
Ψαλμ. Ια, ς, ζ. ἐπὶ ἁμαρτωλοὺς παγίδας· πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ πο-
τηρίου αὐτῶν. ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν· εὐθύτητας εἶδε τὸ
πρόσωπον αὐτοῦ. Δεηθῶμεν οὖν τοῦ Κυρίου ἐξ ὅλης ψυχῆς, ὅπως σκεπάσῃ
α Κορ. Β, θ. Ησ. ξδ, δ. ἡμᾶς. Χαίρει γὰρ ἐπὶ τοῖς σωζομένοις· διὸ καὶ ἡτοίμασεν αὐτοῖς ἃ ὀφθαλμὸς
οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ταῦτα μνή-
σθητι, καὶ ἐπίστρεφε πρὸς Κύριον. Μὴ γίνου ὥσπερ ἀξίνη ἐν χειρὶ Διαβόλου,
ἐκκόπτων φυτὰ καρποφόρα· μηδὲ ὡς ἄνεμος καύσων, διαφθείρων καρποὺς
ἀγαθούς. Οὐκ οἶδας, ἀγαπητὲ, ὅτι ἐν παρατάξει πολέμου, ἐὰν τρωθεὶς ἀνὴρ
πέσῃ ἐν τῇ παρεμβολῇ, δειλίαν παρέχει τοῖς συμμαχοῦσι; Σὺ δὲ νόει τὸ εἰρη-
μένον· ἐὰν γὰρ καθοπλίσῃ τις ἑαυτὸν ἀνδρείως κατὰ τῶν ὑπεναντίων, καὶ τοὺς ῥαθυ-
μοτέρους καὶ τοὺς δειλοὺς τῇ καρδίᾳ διεγείρει τῇ προθυμίᾳ. Οὐ μνημονεύεις,
ἀγαπητὲ, οἵαν κατάνυξιν εἶχες πρότερον, ὅτε ἤρξω εἰς τὸν μονήρη βίον; Ποῦ
τοίνυν ἐστὶν ἡ κατάνυξις ἐκείνη, ἡ πλήρης τῶν δακρύων ἐκείνων; Ποῦ ὁ οὐράνιος
πόθος, ἡ ἀνυπόκριτος εὐλάβεια; Ποῦ ἡ ταπείνωσις, ἡ ἀνάνευσις εἰς οὐρανούς;
Ποῦ ἡ σιωπὴ, ἡ πλήρης ἔνδον τῆς προσευχῆς; Ποῦ ἡ φυλακὴ τῶν ὀφθαλμῶν,
ἄλλ. καθαίρουσα. ἡ λογισμοὺς * καθαροὺς τίκτουσα; Ποῦ ἡ ἀγάπη, ἡ Θεὸν δυσωποῦσα; Ταῦτα
μισήσας καὶ ἀποστερημένος * * * * * * * * * * *
Ματ. Κδ, λζ, λη. Ιζ, κς, κζ, κη. Λυκ. Ιζ, κς, κζ, κη, κθ, λ. Γένεσ. Ζ, ζ. Ιθ, κδ. * ὁ Σωτήρ. Καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε· οὕτως ἔσται ἐν τῇ παρουσίᾳ
τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὡς γὰρ ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ κατακλυσμοῦ· ἤσθιον καὶ
ἔπινον, ἐγάμουν καὶ ἐγαμίζοντο, ἄχρι ἧς ἡμέρας ἦλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ
ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἀπώλεσε πάντας. Ὁμοίως, καθὼς ἐγένετο ἐν ἡμέ-
ραις Λώτ· ἤσθιον καὶ ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν· ᾗ δὲ
ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ ἀπὸ οὐρανοῦ, καὶ ἀπώλεσε πάντας.
κατὰ ταῦτα ἔσται ἐν ᾗ ἡμέρᾳ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Μὴ οὖν ἀμελήσωμεν
τῆς ἑαυτῶν σωτηρίας, ἀγαπητοί. ἰδοὺ γὰρ αἱ Θεῖαι Γραφαὶ μηνύουσιν ἡμῖν τὴν
ἡμέραν, ἵνα διὰ τῆς μετανοίας σωθῶμεν ἀπὸ τῆς ὀργῆς, καὶ κληρονομήσωμεν τὴν
αἰώνιον ζωὴν, ποιήσαντες τὰ εὐάρεστα τῷ Κυρίῳ. Εἰ δὲ ἐπιμένῃς τῇ προτέρᾳ
σου ἀπειθείᾳ, καὶ ἐν τῷ τῆς ἀφοβίας λογισμῷ ὑπάρχῃς, γίνωσκε ὅτι οὐ χρονιεῖς
Ματθ. Γ, ι. Λυκ. Γ, θ. ἐκκοπῆναι. Ἀψευδὴς γὰρ ὁ εἰπών· ἤδη ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων
κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλ-
Λυκ. Ιγ, ς, ζ, η, θ. λεται. Ἄκουε δὲ καὶ τὴν παραβολὴν τῆς συκῆς. Συκῆν τις εἶχε, φησὶν, ἐν τῷ
ἀμπελῶνι αὐτοῦ· καὶ ἐξελθὼν, ἐζήτει καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. Εἶπε δὲ
πρὸς τὸν ἀμπελουργόν· ἰδοὺ, τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν, καὶ οὐχ
εὑρίσκω. Ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ. Ὁ δὲ ἀποκριθεὶς λέγει

*

αὐτῷ· κύριος, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἵνα σκάψω περὶ αὐτὴν, καὶ βάλω
κοπρίαν. κἂν μὲν ποιήσῃ καρπὸν, εἰ δὲ μή γε εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. Ὁρᾷς
οὖν, ἀγαπητὲ, μήποτε πληρωθῇ ὁ καιρὸς τῆς προθεσμίας, καὶ ἄλλον καιρὸν οὐ μὴ Γαλάτ. Δ, β.
εὑρώμεθα. Δεῦτε οὖν, προσκυνήσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου
Ε. τοῦ ποιήσαντος ἡμᾶς. ἆρον τὰς χεῖράς σου πρὸς αὐτὸν σὺν τῇ καρδίᾳ, καὶ μετὰ
δακρύων πρόσπεσε αὐτῷ, βοῶν πρὸς αὐτὸν σὺν τῷ Προφήτῃ· σῶσόν με ἀπὸ Ψαλμ. ξθ, ιδ, ιε, ιϛ, ιζ, ιη.
πηλοῦ ἰλύος, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων
τῶν ὑδάτων· μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυ-
θὸς, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. εἰσάκουσόν με, Κύριε, ὅτι
Ι. χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ
ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου· ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν
μου. πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν· ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί
με. Ὅπως καὶ αὐτὸς εἴπῃ πρός σε τὸ γεγραμμένον· ἀνδρίζου, καὶ κραταιούσθω Ψαλμ. ΚΖ, ιδ, Μ, α, β, γ, δ.
ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. ἵνα καὶ σὺ εὐχαριστῶν τῇ ἀγαθότητι
ΙΒ. αὐτοῦ εἴπῃς· ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς
δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος,
καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου, καὶ
ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν. ὄψονται πολλοὶ
καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον. Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα
Κ. αὐτοῦ Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.
Εὐλογητὸς Κύριος, ὁ διδοὺς δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. καὶ εὐλο-
γητὸς ὁ Θεὸς ἡμῶν. ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΕΡΙ ΚΑΚΟΗΘΕΙΑΣ

ΠΑΡΑΙΝΕΣΙΣ ΜΘ.

ΚΕ.
ΟΝ τρόπον ξίφος νευροκοπεῖ ἵππον, καὶ τὸν ἐπιβάτην καταβάλλει, οὕτως
καὶ ἡ κακοήθης γνώμη κόπτει τοὺς τόνους τῆς ψυχῆς, καὶ τῇ λύπῃ παραδίδωσι·
λύπη δὲ διαφθείρει τοὺς ἐμπίπτοντας ἐν αὐτῇ. Τίς δέ ποτε βουλόμενος εἰς πό-
λιν ἀπελθεῖν ἀπέχουσαν σταδίους * τριάκοντα, ποιήσας δὲ εἴκοσι ἐννέα, τὸ δὲ ἓν ἄλλ. πεντήκοντα, ποιήσας δὲ τεσσαράκοντα ἐννέα.
Λ. μὴ ποιήσας; οὔτε ἐκ τῆς ἰδίας ἐξῆλθε, καὶ εἰς τὴν πόλιν οὐκ εἰσῆλθε. Καθ-
άπερ ὁ ἐλθὼν εἰς τὴν ἑνδεκάτην ὥραν, ἐνάρξηται κατασπείρειν, καὶ τὰ πεφυτευ-
μένα ἐκτίλλειν, μισθὸν οὐ λαμβάνει. τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
εἰπόντος· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ πάλιν· οὐδεὶς ἐπι- Ματθ. Ι, κβ.
βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν Λουκ. Θ, ξβ.
ΛΕ. βασιλείαν τῶν οὐρανῶν. Ἡ γὰρ γυνὴ τοῦ Λὼτ, στραφεῖσα εἰς τὰ ὀπίσω, ἐγένετο Γένεσ. ΙΘ, κϛ.
στήλη ἁλός. Ὅθεν καὶ ὁ Ἀπόστολος τοῖς ὄπισθεν ἐπιλανθανόμενος, τοῖς ἔμπροσ- Φιλιππ. Γ, ιγ.
θεν ἐπεκτείνετο. Καὶ σὺ οὖν, ἀγαπητὲ, ὑπόμεινον· ὁ γὰρ κόσμος οὗτος παρ- α Ιωάν. Β, ιζ.
άγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, μένει εἰς τὸν αἰῶνα.
Ξένοι γάρ ἐσμεν, καὶ πάροικοι ἐν τῷ βίῳ τούτῳ. Ἐὰν δὲ, ὡς καιρὸν ἔχομεν, ἐρ- Ἐφεσ. Β, ιθ.
Μ. γαζόμεθα ἐν αὐτῷ τὰ ἀρεστὰ τῷ Κυρίῳ, τὸν μισθὸν κομισόμεθα. κτήσου οὖν
τὴν ὑπομονὴν, ἀγαπητὲ ἀδελφέ· γέγραπται γάρ· ἐν τῇ ὑπομονῇ ὑμῶν, κτή- Λουκ. Κα, ιθ.
σασθε τὰς ψυχὰς ὑμῶν. Ὁ Ἐνὼχ διακόσια ἔτη εὐηρέστησε τῷ Θεῷ, μετὰ τὸ Γένεσ. Ε, κα, κβ.

γηρύσαι αὐτὸν τὸν Μαθουσάλα. Καὶ ἡμεῖς ἐν τῷ βραχεῖ τούτῳ καιρῷ ὀλιγωροῦμεν; Ἀντίστα, ἀγαπητὲ, τοῖς βλαβεροῖς λογισμοῖς, καὶ εἰπὸν μετὰ τοῦ λέγοντος·
Γαλάτ. Β, κ. Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Τί γὰρ ὠφε-
Ματθ. Ιϛ, κϛ. Μάρκ. Η, λϛ. Λυκ. Θ, κε. λεῖται ἄνθρωπος, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;
Ψαλμ. Ριθ, ριε. Ἐκκλίνατε ἀπ᾽ ἐμοῦ, πονηρευόμενοι. Τοῦ Ἐκκλησιαστοῦ βοῶντος· ματαιότης Β
Ἐκκλησ. Ιϐ, η. ματαιοτήτων τὰ πάντα ματαιότης. Μετὰ τοσοῦτον πλοῦτον καὶ δόξαν, οὐκέτι
† λείπει τινά. * ἄλλ. προσφέρω. ματαιότητι † * προσφέρω μου τὸν καμάτους τῷ ἀγαθῷ καὶ ἐλεήμονι Θεῷ, τῷ
παρέχοντι μετὰ θάνατον, ζωὴν· καὶ ἑτοιμάζοντι τοῖς ἀγαπῶσιν αὐτὸν, ἃ ὀφθαλ-
α Κορινθ. Β, θ. Ησ. Ξδ, δ. μὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ναὶ, ἀγα-
πητὲ, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπομεῖνον τὸν Κύριον, καὶ ἔσται Ι.
ἐν εἰρήνῃ ἡ ἔξοδός σου. Ἐκεῖ ὄψει τοὺς δικαίους χαίροντας ἐπὶ τῇ σῇ σωτηρίᾳ.
Ἐκεῖ αὐλισθήσῃ ἐν κόλποις Ἀβραὰμ σὺν τῷ Λαζάρῳ. Τὴν γὰρ πλουσίαν ἀξ-
ελέξω, τὴν θλῖψιν ὑπέμεινας, ὀνειδισμοὺς ὑπήνεγκας, ἐξουδένωσιν οὐκ ἐμίση-
σας. Διὰ τοῦτο δέξονταί σε μετ᾽ εὐφροσύνης εἰς τὰς αἰωνίους σκηνὰς, ἔνθα ἀπ-
έδρα ὀδύνη, λύπη, καὶ στεναγμός. Ἐκεῖ ὄψει τὴν ζωὴν, καὶ τὸ φῶς τὸ ἀληθινὸν, Κ
τὴν ἐλπίδα πάσης τῆς κτίσεως, τὸν Λυτρωτὴν τῶν ψυχῶν ἡμῶν, Ἰησοῦν Χριστὸν,
Ἰωάν. Ιϛ, κϐ. τὸν βασιλέα τῆς δόξης· καὶ χαρήσεταί σου ἡ καρδία, καὶ τὴν χαρὰν οὐδεὶς αἴρει
ἀπὸ σοῦ. Αὐτὸς δὲ ὁ Κύριος ὁ Θεὸς ἡμῶν διαφυλάξῃ ἡμᾶς ἀμέμπτους. ὅτι
ἄλλ. ἡ δύναμις, καὶ ἡ δόξα. αὐτῷ ἐστιν * ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ἄλλ. καὶ βίου κοσμικοῦ. ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΤΟΥ ΜΟΝΑΧΙΚΟΥ ΒΙΟΥ * ΥΠΕΡ ΤΟΝ ΚΟΣΜΙΚΟΝ. Κ.

ΠΑΡΑΙΝΕΣΙΣ Ν.

ΑΓΑΠΗΤΕ ἀδελφὲ, ἐὰν ἀποταξάμενος τῷ βίῳ γένῃ μοναχὸς, νῆφε
ὅτι πολλαὶ αἱ μεθοδεῖαι τοῦ Ἐχθροῦ. μήποτε εὑρὼν χώραν, ὑποβάλλῃ
τὰ τοιαῦτα. Ἰδοὺ, φησὶν, ἀπεταξάμην τῷ κόσμῳ καὶ τοῖς ἰδίοις. Οὐκ ἰδοὺ καὶ τὰ κτη-
θεῖα ἡσύχαζον εἰς τοὺς φωλεοὺς αὐτῶν; Σὺ οὖν ἐπιτίμησον αὐτῷ, λέγων· ὁ
Κύριος καταργήσει σε, Διάβολε, ὅτι τὸν ἄνθρωπον, ὃν ἐποίησε κατ᾽ ἰδίαν εἰ-
κόνα καὶ καθ᾽ ὁμοίωσιν, θηρίῳ ἀλόγῳ καθωμοίωσας. οὐ παύῃ διαστρέφων τὰς
εὐθείας ὁδούς; Περὶ δὲ τῆς διαφορᾶς ἄκουε· πρῶτον μὲν ὁ θέλων γενέσθαι μο-
ναχὸς, ἀποτάσσεται τῷ κόσμῳ, ἀποτάσσεται τοῖς ἰδίοις θελήμασι, καὶ λαμβάνει Λ.
τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ τῷ Σωτῆρι ἡμῶν Χριστῷ. οὐ φιλονεικεῖ, οὐ
ἄλλ. ψεύδους. καταρᾶται, οὐκ ὀμνύει, οὐ δυσφημεῖ, οὐ μελετᾷ λόγοις * ψευδέσι διὰ τῆς
εὐλαλίας καὶ φλυάρου φιλοσοφίας. ἐγκρατεύεται, οὐ σπαταλᾷ. πάντας τοὺς Θεοῦ
Ἀγγέλους φίλους ἔχει, ἐχθρὸν δὲ τὸν Διάβολον. Οὐκ ἐκθλίβει γεωργὸν, οὐ βιά-
ζεται χήραν, οὐχ ἁρπάζει τὰ τοῦ πτωχοῦ, οὐ κονδυλίζει ὀρφανὸν, οὐ μαίνε- ΛΙ.
ται ἐπὶ πλούτῳ. Ἀρκούμενος τοῖς παροῦσιν, οὐ φροντίζει τοῦ στρατεῦσαι τοὺς
ἑαυτοῦ υἱοὺς, ἢ ἐγγαμίσαι θυγατέρας. Οὐ δέδεται περισπασμοῖς, ἀλλὰ σχο-
λάζει τῇ ἑαυτοῦ σωτηρίᾳ. Οὐκ ἐπαίρεται, ἀλλὰ ταπεινοφρονεῖ, ἀλλὰ χρηστεύε-
ται, καὶ ἐπιεικεύεται. Ψάλλει, καὶ οὐ τραγῳδεῖ. Προσεύχεται, καὶ οὐ μετ-
εωρίζεται· οὐ φιλονεικοτομαχεῖ ἐν ταῖς τοῦ βίου πραγματείαις· οὐ φροντίζει Μ.
περιποιῆσαι ἑαυτῷ δόξαν ἐπίγειον. Ἀντὶ αὐλῶν καὶ τυμπάνων καὶ μουσικῶν,
ψάλλει τῷ Κυρίῳ, καὶ προσεύχεται. Πενθεῖ καὶ δακρύει ἐν τοῖς ἑαυτοῦ ἔργοις τα-

μείοις καὶ τῶν σίκω, καὶ τῆς ψυχῆς, ἐκφέρει ἀμαρτιῶν αὐτόματος. Περισσοχόμενος περισπᾶται καὶ παρὰ ὅλου τοῦ κόσμου. Οὐ παραβάλλει μετὰ τοῖς θεατρικοῖς, ἀλλὰ ἁγίοις ἀκολουθεῖ αὐτῷ αὐλῆς τοῦ ἐρήμου ἔτης. Εκκλίνει ὅρκους, καὶ ψυχὴν τοῦ παραμυθίαν αὐτοῖς. Κάμνει ἐκτείνει ἐπὶ τὰ συμφέροντα εἰς ἔργον, καὶ ἀναγινώσκει τῶν θείων Γραφῶν. Αμεριμνίαν γονίαν καὶ γνήσιον προσηγμάτων, ὡς ποθεῖ, λογίζεται. Αναλογίζεται τὰς ἀπαγγελίας τοῦ Σωτῆρος, καὶ ἀναζωπυρεῖται τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, καὶ τὴν λύπην φυγαδεύει. Ηκει παραμυθητικοῦ ἀρρωστία; χαίρει, ὅτι ἐγγὺς ὁ στέφανος. Ηκει ἀκηδία; διαλογίζεται παρὰ Κυρίου ὑπομονήν. Ηκει ζημία γηΐνη; ἀλλὰ μιμνήσκεται τὴν ἡμέραν τῆς τελευτῆς, ὅτι πάντα ἀπολείπει. Οχλήθη ὑπὸ τῆς ἀδυναμίας; ἀναλογίζεται τὰ πλεονεκτήματα τῆς βασιλείας. Ηκει συκοφαντία; μακροθυμεῖ, ὅτι ἐγγίζει ὁ δικαιῶν αὐτόν. Ηκει ὕβρις, καὶ βάσανοι; ἀναλογίζεται ὅτι διὰ πυρὸς μέλλει ἔρχεσθαι. Ταῦτα τὰ εὑρήματα τῆς χάριτος, τοῖς ὀρθῶς δουλεύουσι τῷ Κυρίῳ, καὶ ὅσα πρέπει τοῖς ἁγίοις. Σὺ δέ, τὸν Διάβολον, ἀπαρχῆς ἔδει ἀποστρέψει ὁ Κύριος. Ναὶ, ἀγαπητέ, ἀκούσατε τοῦ λέγοντος· ἀντίστητε τῷ Διαβόλῳ, καὶ φεύξεται ἀφ᾽ ὑμῶν· ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. Προσευχόμενος εἶμι καὶ ὑπὲρ ὑμῶν τῷ παλαιοτέρῳ, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὅπως ὁ ἀγαθὸς Κύριος καὶ ἐλεήμων διαφυλάξῃ καὶ σώσῃ ἡμᾶς εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν, ἢ τὴν ἀπογνωσμένην ἐλπίδα· ὅτι αὐτῷ ἡ δόξα, κράτος, καὶ ἡ δύναμις, καὶ ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΕΠΙΣΤΟΛΗ

ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΜΟΝΑΖΟΝΤΑ. ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ, ΚΑΙ ΤΟΥ ΜΗ ΑΠΑΤΑΣΘΑΙ ΤΟΙΣ ΛΟΓΙΣΜΟΙΣ ΠΡΟΦΑΣΕΙ ΔΙΚΑΙΩΜΑΤΩΝ, ΚΑΙ ΛΕΓΕΙΝ, ΟΤΙ ΩΣ ΒΟΣΚΟΣ ΠΟΡΕΥΟΜΑΙ. ΚΑΙ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ ΕΤΛ. ΠΕΡ.

ΠΟΛΛΑ παραινέσαντες τὸν εὐλαβέστατον Θεόδωρον τοῦ μὴ ἀποστῆναι τοῦ τόπου ἑαυτοῦ, οὐκ ἰσχύσαμεν πεῖσαι. Εἶπε δὲ πρὸς ἡμᾶς· ἐὰν θέλῃς, φησὶ, βοηθῆσαί μοι, καὶ μετὰ Θεὸν σῶσαί μου τὴν ψυχὴν, ἀπόστειλόν με εἰς τὸ μοναστήριόν σου. ᾯ τινι ἀπεκρίθη· ὅτι ἀφ᾽ οὗ τὴν ἐπιμέλειαν τοῦ μοναστηρίου ἐπέτρεψα τῷ ἀδελφῷ Ιωάννῃ, ἄνευ βουλῆς αὐτοῦ, συντάξασθαί τινι οὐ δύναμαι. Καὶ τὰ νῦν καλῶς πεποίηκας, δεξάμενος τὸν προειρημένον ἀδελφόν. Ως γὰρ ἐποίησεν, ἀπήγγειλεν ἡμῖν, ὁποίαν συμπάθειαν ἐνεδείξω εἰς αὐτόν. Καὶ γὰρ τοὺς τοιούτους δεῖ ἐντίμως ἔχειν, τοὺς ὑπὲρ πατέρα καὶ μητέρα, καὶ ἀδελφοὺς καὶ ἀδελφὰς, καὶ γυναῖκα καὶ τέκνα, καὶ συγγενεῖς καὶ φίλους, ἠγαπηκότας τὸν Κύριον. Καλῶς δὲ ποιεῖς, εἰς τύπον καλῶν ἔργων παρεχόμενος ἑαυτὸν, καὶ μάλιστα τοῖς σὺν σοὶ οἰκοῦσιν ἀδελφοῖς· κατὰ τὸν εἰπόντα· ἀπ᾽ ἐμοῦ ὄψεσθε, καὶ οὕτω ποιήσετε. Καὶ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος παραινεῖ, λέγων· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ· ἵνα δὲ ὁ λόγος οὐ πληροφορεῖ, τὸ ἔργον * ποιήσῃ. Τῆς δὲ πνευματικῆς λειτουργίας μὴ καταφρονήσητε, μηδὲ προφάσει τῶν σωματικῶν χρειῶν, τῆς συνάξεως ὑμῶν παραμελήσητε. Τὰ γὰρ λόγια Θεοῦ μελετώμενα ψυχὴν μὲν τρέφουσι καὶ διαφυλάττουσι, σῶμα δὲ φρουροῦσι καὶ παραθήγουσι,

Ιάκ. Δ, ζ, η.

Ψαλμ. Λη, δ.

Τίτ. Β, ζ.

Κριτ. Ζ, ιζ.

α Κορινθ. Δ, ις.

* ἴσως, ποίησῃ.

Δαίμονας δὲ ἀπελαύνουσι. Περὶ δὲ τῶν ἐπιχειρούντων εἰς τὰ ὑπέρμετρα, καὶ
Ρωμ. ΙΒ, γ. περιπιπτόντων κινδύνοις ἀνεκχρίστοις, ὑπομνῆσαι ὑμᾶς βούλομαι, μὴ φρονεῖν παρ'
Εκκλησ. Ζ, ιϛ. ὃ δεῖ φρονεῖν. Καὶ πάλιν ἑτέρωθι λέγει· μὴ γίνου δίκαιος * πολλά, μηδὲ σοφίζου
ἄλλ. πολύ. περισσά, μήποτε ἐκπλαγῇς. Συνέβη γὰρ ἐν ταῖς ἡμέραις ταύταις τινὰς ἀδελ-
φοὺς καταλιπόντας τὰ ἑαυτῶν κελλία, εἰς τὴν ἄβατον καὶ ἄκαρπον καὶ ἄνυδρον
γῆν ἑαυτοὺς ἐκδεδωκέναι· πολλὰ δὲ ὑπὸ τῶν πατέρων καὶ ἀδελφῶν νουθετη-
θέντες οὐκ ἐπείσθησαν, εἰπόντες· ἡμεῖς βοσκοὶ ἀπερχόμεθα. Ὡς δὲ ἤλασαν ἑαυ-
τοὺς κατὰ τῆς ξηροτάτης ἐρήμου, θεασάμενοι ἑαυτοὺς συγκλεισθέντας ὑπὸ τῆς ἀβάτου
γῆς, ἤρξαντο δυσφορεῖν λίαν· δεξάμενοι δὲ ἀναλύειν εἰς τὰ οἰκούμενα, οὐκ
ἐξίσχυσαν ἑαυτοὺς ὑπεξάραι τῆς χαλεπωτάτης ἐρήμου· οὐ γὰρ ῥᾴδιον ἦν ἐκτὸς γενο-
μένοις. Θλιβόμενοι τοιγαροῦν σφοδρῶς ὑπὸ ἀσιτίας καὶ δίψης καὶ τοῦ καύσωνος,
ἐκεῖ ἀθυμοῦντες, καὶ τὴν ψυχὴν ἀπολεγόμενοι. Οἰκονομίᾳ δέ τις γέγονεν ἐκ
λείπει τινά. θείας προνοίας, καὶ διέζευκται ὑπό τινων ψυχορραγοῦντες, οἵτινες ἐπιθέντες *
ἔμειναν ἀσθενοῦντες ἐφ' ἱκανόν, καὶ λοιπὸν τῇ πείρᾳ ἔγνωσαν, μὴ ποιεῖν τι ἄνευ
βουλῆς. Πολλοὶ γὰρ αὐθαδείᾳ λογισμοῦ φερόμενοι, εἰς γῆν ἄκαρπον καὶ ἄνυδρον
ἑαυτοὺς ἀπήλασαν, βίαιον θάνατον ἑαυτοῖς ἐπενέγκαντες. Ἕτεροι δὲ ὑποταγῆναι
μὴ βουλόμενοι, μηδὲ ἐξυπηρετεῖν τοὺς ὁμοψύχους ἀνεχόμενοι, τῷ αὐτῷ κινδύνῳ
ἑαυτοὺς ἐξέδωκαν. Ἄλλοι ὑπὸ αὐταρεσκείας λογισμοῦ ἐμπαιχθέντες, καὶ τῇ
κενοδοξίᾳ ἐπαρθέντες, ἐπαίνους θηρώμενοι ὑπὸ τῶν ἀκουόντων, ὡς φασι, βοσκοὶ
γινόμενοι· τοὺς δὲ ἐπιτεινομένους πόνους μὴ συλλογισάμενοι, τοῖς αὐτοῖς κινδύνοις
ἑαυτοὺς περιέβαλλον. Οὐ δεῖ τοιγαροῦν, ἀγαπητέ, συναπάγεσθαι τοῖς ἰδίοις λο-
γισμοῖς ἀκρίτως, ἀλλὰ μᾶλλον χρὴ ἕκαστον ἐπιγινώσκειν τὰ οἰκεῖα μέτρα, καὶ
ταπεινοῦσθαι τῷ πλησίον ἐν ἀγάπῃ Θεοῦ. Εἰ δέ τις οἴεται κατωρθωκέναι τὴν ἀρε-
τήν, καὶ ἐπικρατεῖν τῶν παθῶν, καὶ βασιλεύειν τῶν ὀρέξεων, μηδὲ οὕτω θαρρείτω
Παροιμ. Ιγ, ιζ. ἑαυτῷ· ὅπως μὴ ῥηθῇ καὶ αὐτῷ τὸ γεγραμμένον· βασιλεὺς θρασὺς ἐμπεσεῖται
εἰς κακά· ἄγγελος δὲ φωτὸς ῥύσεται αὐτόν. Ἀλλ' ἴσως παρελθών τις λέξει· καὶ
πῶς εὑρίσκομέν τινας τῶν πατέρων, ταύτην ἐξησκηκότας τὴν ἀρετήν; Χρὴ τοι-
γαροῦν ἡμᾶς προσφέρειν καὶ ἐκ τῶν βίων τῶν ἁγίων πατέρων τὴν μαρτυρίαν, ὅπως
δείξωμεν σαφῶς, μηδὲν εἰκῇ ἢ ὡς ἔτυχεν ἀπερισκέπτως πεπραχέναι τοὺς ἁγίους
πατέρας. Περὶ γὰρ τοῦ ἀββᾶ Μακαρίου ἱστορεῖται, ὅτι ἔλεγεν οὕτω· Καθημένου
μου, φησίν, ἐν τῷ κελλίῳ ἠσυχάσθην. ὤχλησάν μοι οἱ λογισμοί, λέγοντες· ἄπελθε
ἔξω εἰς τὴν ἔρημον, καὶ ἴδε τί βλέπεις ἐκεῖ. καὶ ἔμεινα πολεμῶν τοὺς λογισμοὺς
πέντε ἔτη, λέγων· μήπως ἀπὸ Δαιμόνων ἐστίν. Ὁρᾷς σύνεσιν ἁγίου ἀνδρός. μὴ
συναπήχθη ἢ ἐπέδραμε; μὴ προσεποιήσατο τὸν λογισμόν; οὐχί. Ἀλλ' ἔμενεν
ἀνακρίνων, νηστεύων, καὶ ἀγρυπνῶν, καὶ προσευχόμενος, μήπως ἀπὸ Δαιμόνων
ἴσ. ἐξαγριούμενοι. ἐστίν. Ἡμεῖς δὲ ὅταν ἔλθῃ λογισμός, ἀκατάσχετοί ἐσμεν * ἐξαγροιούμενοι, καὶ
οὐ μόνον οὐκ ἀνακρινόμεθα ἐμπόνως προσευχόμενοι, ἀλλ' οὐδὲ ὑφ' ἑτέρων νουθε-
τούμενοι πειθαρχοῦμεν· ὅθεν καὶ αἰχμαλωτιζόμεθα ῥᾳδίως ὑπὸ τοῦ Ἐξεναντίας.
ἴσως, ἐπέπειθεν. Εἶτα, φησίν, ὡς * ἐπέμεινεν ὁ λογισμός, ἐξῆλθεν εἰς τὴν ἔρημον, καὶ εὗρεν ἐκεῖ
λίμνην ὑδάτων, καὶ νῆσον ἐν μέσῳ αὐτῆς· καὶ ἦλθον τὰ κτήνη τῆς ἐρήμου πιεῖν ἐξ
αὐτῆς, καὶ εἶδεν ἐν μέσῳ αὐτῆς δύο ἀνθρώπους γυμνούς. Εἶτα μετὰ τὸ λαλῆσαι
αὐτοὺς πρὸς ἀλλήλων, εἶπεν ὁ ἀββᾶς Μακάριος πρὸς αὐτούς, Πῶς δύναμαι

γενέσθαι μοναχός; Καὶ λέγουσιν αὐτῷ· ἐὰν μὴ ἀποτάξηταί τις πᾶσι τοῖς τοῦ κόσμου, οὐ δύναται γενέσθαι μοναχός. Καὶ εἶπεν αὐτοῖς· ἐγὼ ἀσθενής εἰμι, καὶ οὐ δύναμαι ὡς ὑμεῖς. Καὶ εἶπον· ἐσὺ οὐ δύνασαι ὡς ἡμεῖς, κάθου ἐν τῷ κελλίῳ σου, καὶ κλαῦσαι τὰς ἁμαρτίας σου. Ὢ ταπείνωσις ἐνθέου ἀνδρός. ὢ σύνεσις ἐναρέτου ψυχῆς. Ὁ τοσούτοις καὶ τηλικούτοις ἀνδραγαθήμασι διαπρέπων οὐκ ἔκρινεν αὐτὸν ἄξιον τοῦ πράγματος· ἀλλ᾽ ἔφη πρὸς αὐτούς· ἐγὼ ἀσθενής εἰμι, καὶ οὐ δύναμαι ὡς ὑμεῖς. Ἡμεῖς δὲ, μήτε διωγμοῦ ἐπιστάντος, μήτε ὑπό τινος διωκόμενοι, τῇ προπετείᾳ καὶ αὐταρεσκείᾳ ἀγόμεθα, καὶ ἐπιχειροῦμεν τὰ ὑπέρμετρα, ὡς Κύριον τὸν Θεὸν πειράζοντες, ὅπερ ἐστὶ φοβερόν. Οὐαὶ δὲ ἀνθρώπῳ πεποιθότι ἐπὶ τῇ ἰδίᾳ δυνάμει, ἢ εὐφυότητι, καὶ μὴ εἰς Θεὸν ἔχοντι πᾶσαν αὐτοῦ τὴν ἐλπίδα· παρ᾽ αὐτοῦ γὰρ * μόνου τὸ κράτος καὶ ἡ ἰσχύς. Διατί γὰρ μὴ ἐγκύψομεν καὶ εἰς τὸν *ἴσως, μόνῳ.* βίον τοῦ ἀββᾶ Ἀντωνίου, καὶ εὑρήσομεν καὶ αὐτὸν ἐκ θείας ἀποκαλύψεως πάντα [Σελίδ. Ρϛγ.] πεποιηκέναι. Ὁμοίως δὲ καὶ αὐτὸς οὐκ ἐν μοναστηρίῳ ἐκαθέζετο; οὐκ ἀμφιάσμασιν ἐκέχρητο; οὐκ ἄρτον ἤσθιεν; οὐ ταῖς ἰδίαις χερσὶν εἰργάζετο; οὐ μαθητὰς ἐκέκτητο, οἵτινες καὶ θανόντος αὐτοῦ, συνέστειλαν καὶ ἔθαψαν. Οὐ μόνον δὲ αὐτὸς ὁ μακάριος Ἀντώνιος ταύτῃ ἐχρήσατο τῇ διαγωγῇ, ἀλλὰ καὶ οἱ λοιποὶ πατέρες, οἱ τὸν ἐνάρετον βίον ἐξοικήσαντες, οἵτινες παρακλήτορες γεγόνασι τῶν φοιτώντων πρὸς αὐτοὺς, δι᾽ ὧν ὁ Θεὸς σημεῖα καὶ ἰάσεις ἐπετέλει. ὡς γὰρ λύχνοι φαιδροὶ ἦσαν, ταῖς ἀρεταῖς καταλαμπόμενοι. Τοῦτον τὸν βίον καὶ τὸν τρόπον ζηλώσωμεν καὶ ἡμεῖς, ἐν τῇ βασιλικῇ ὁδῷ βαδίζοντες, μὴ ἐκκλίνοντες, μήτε εἰς τὰ δεξιὰ, μήτε εἰς τὰ ἀριστερά. Σχολάσωμεν τοιγαροῦν τῇ ἡσυχίᾳ, τῇ νηστείᾳ, τῇ ἀγρυπνίᾳ, τῇ προσευχῇ, τοῖς δάκρυσι, * ταῖς κατανύξεσι, *ἀλλ. ταῖς συνάξεσι.* τῷ ἐργοχειρίῳ, τῇ συντυχίᾳ τῶν ἁγίων πατέρων, τῇ ὑπακοῇ τῆς ἀληθείας, τῇ ἀκροάσει τῶν θείων γραφῶν· ὅπως μὴ χερσωθῇ ἡμῶν ἡ διάνοια. Μάλιστα δὲ τῆς μεταλήψεως τῶν ἀχράντων καὶ ἁγίων μυστηρίων ἀξίους ἑαυτοὺς παραστήσωμεν, ὅπως τῶν τικτομένων ἀπιστιῶν τε καὶ ῥυπαρῶν λογισμῶν διασμηχθῇ ἡμῶν ἡ ψυχὴ, καὶ ἐνοικήσας ἐν ἡμῖν ὁ Κύριος ῥύσηται ἡμᾶς τοῦ Πονηροῦ. Κατὰ πάντα δὲ, τὴν εἰλικρινῆ ἀγάπην διώκοντες εἰς ἀλλήλους καὶ εἰς πάντας. ἐκ γὰρ τοῦ πλησίον κτᾶταί τις τὸ πονηρὸν καὶ ἀγαθόν. Ἀψευδὴς γάρ ἐστιν ὁ εἰπών· ἑνὶ τούτων τῶν *Ματθ. Κε, μ, με, μϛ.* ἀδελφῶν μου ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. πρὸς δὲ τοὺς ἀσυμπαθεῖς πάλιν λέγει· ἑνὶ τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων οὐκ ἐποιήσατε, οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ πορεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Οἱ ἀρχαῖοι μόσχους, *Λευϊτ. Α, β, γ, Γ, ζ, ιϛ, Θ, η.* καὶ κριοὺς, καὶ ἀμνοὺς, πάντα ἄμωμα εἰς θυσίαν προσέφερον τῷ Κυρίῳ. ἡμεῖς δὲ τὸ ἑαυτῶν σῶμα προσενέγκωμεν Κυρίῳ ἐν Πνεύματι ἁγίῳ, μὴ μολύνοντες τοῦτο ἐν τοῖς ἀπηγορευμένοις, ἢ ῥυποῦντες ἔν τινι λογισμῷ, ἵνα μὴ ἀπρόσδεκτος γένηται ἡμῶν ἡ θυσία. Τὸ δὲ ἔν τινι τρόπῳ * δέξασθαι τὴν ἁγιωσύνην *ἀλλ. δείξασθαι.* ἀρκεῖ τοῖς γε νοῦν ἔχουσι νηφάλιον ἡ τοῦ Θεοῦ μνήμη, ἧς αἱ ἀκτῖνες φωτίζουσι πᾶσαν καρδίαν. Οἱ δὲ ἔτι ἀσθενῶς διακείμενοι πρὸς τὴν τοιαύτην ἔννοιαν χρήζουσί τινων ὑποδειγμάτων πρὸς ζῆλον καὶ κατόρθωσιν τῆς αὐτῆς ἀρετῆς. Ἔστω δὲ τὸ ὑπόδειγμα τοιοῦτο. Οἱ κατὰ τὸν κόσμον ἀνδραγαθοῦντες ἐν τοῖς πολέμοις, εἰκόνας λαμβάνουσιν ἐπὶ τειχῶν καὶ σανίδων, τὴν ἱστορίαν τοῦ πολέμου διαγράφοντες· πῶς οἱ μὲν ἐντείναντες τὰ τόξα· οἱ δὲ τιτρώσκοντες· οἱ μὲν φεύγοντες· οἱ δὲ

καταπεέχοντες· ἕτεροι δὲ τῷ ξίφει χρησάμενοι, δυοῖν στοιχείων ἀντιπάλους
ἴσ. ἀποθηεζουσι. *ἀποσπαράζουσι. Καὶ ταῦτα ἐπιτηδεύουσι πρὸς ζῆλον τῶν ἀριστευόντων καὶ τῶν ἀν-
τιστρατευομένων. Πολλοὶ δὲ καὶ τὴν ἄθλησιν τῶν ἁγίων ἐν τοῖς οἰκτηρίοις οἴκοις
διαγράφουσι πρὸς ζῆλον δῆθεν τῆς ἀνδροκαρδίας καὶ τέρψιν τῶν θεατῶν. Ὡς οὖν
καὶ τοῦ ἡμετέρου βίου ἀναγράφεσθαι μέλλοντος, καὶ ἐν ὑψηλῷ ἀνατίθεσθαι πρὸς B
ἐπίδειξιν πάντων, σπουδάσωμεν· μᾶλλον δὲ σπουδάσωμεν κατορθῶσαι τὴν ἀρε-
τήν, ἵνα μηδὲ ψεκτόν, ἢ ἀνοίκειον ἐντεθῇ ἐν τῇ εἰκόνι. Αἴσχιστον γὰρ ἀλη-
θῶς, ἄνδρα ἐν εἰκόνι θεάσασθαι γυναικὶ ὁμιλοῦντα ἀσέμνως, καὶ μάλιστα τῶν δο-
κούντων σχῆμα εὐσεβείας περιβεβλῆσθαι. Εἰ δὲ καὶ μετὰ ἄρρενος· κατὰ τὸ εἰπόντα·
Ρωμ. Α, κζ. ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι τίς ἄρα τολμήσει ἐν- Γ
ατενίσαι τῇ εἰκόνι. Φευκτέον καὶ τὸ θέαμα. Εἰ τοιαῦτα ἐννοηθείημεν, ἐν τοι-
αύτῃ ἀτιμίᾳ θεαθῆναι οὐ βουλόμενοι, τῆς αἰσχύνης ἀπονεκρώσαντες πάντας
ἐκφευξώμεθα τοῦ αἰσχροῦ πάθους, τῆς χείρονος συνεργίας. Φροντίσωμεν τοίνυν
εἰλικρινῶς τῆς ἀρετῆς, ὅπως γένηται ἡ σύνθεσις καὶ ἡ κατασκευὴ τῆς περὶ ἡμῶν ἱστο-
ρίας καλή τε καὶ εὔφημος, εἰς ζῆλον ἀγαθὸν ἐξάπτουσα διὰ τοῦ καλλονῆς, τοῖς Δ
ἐντυγχάνουσι μηδὲν δυσειδές, ἢ ἀνοίκειον τῆς ἀρετῆς χαρακτηρίζωμεν ἐν αὐτῇ.
Γένεσ. Ιη, κ. Ιθ, α. κλ. Καὶ γὰρ ἡ τῶν Σοδομιτῶν ἱστορία ἀνεξάλειπτος καθέστηκε, διαγορεύουσα πῶς ἐκύ-
κλουν τὴν οἰκίαν τοῦ Δικαίου οἱ ἄσωτοι, ἄχρις οὗ ἐπλάγησαν τῇ ἀορασίᾳ, καὶ
ὑπὸ τῆς τοῦ πυρὸς ἐπομβρίας καταφλεχθέντες ἐπεφράχθησαν αὐτοί τε, καὶ τὰ
ἐδάφη αὐτῶν, ἐφ' οἷς τὰς ἀθέσμους κατειργάζοντο μίξεις. Ταύτην τὴν ἱστορίαν, E
ὡς εἰκόνα τινά, φόβου γέμουσαν, προτέθεικεν ὁ ποιήσας ἡμᾶς Θεὸς τῷ ἑκάστου
β Πέτρ. Β, ϛ, ζ, η. ἡμῶν συνειδότι· ἵνα πρὸς τὸ ὑπόδειγμα ἀφορῶντες, ἐκκλίνωμεν τὴν φαυλότητα.
Οἱ δὲ ἐπιχασμώμενοι τῇ θεωρίᾳ τῆς προκειμένης ἡμῖν ἱστορίας, ῥᾳδίως ἐμπί-
πτουσιν ἐν τῷ βαράθρῳ τῶν ἡδονῶν. Σὺ δὲ ἐρηρεισμένον ἔχε τὸ τῆς διανοίας
ἴσως, αἴσχιστα. ὄμμα πρὸς τὴν τοιαύτην κατανόησιν, ἵνα τῷ φόβῳ ἐγκρατὴς τὰ *ἐρωτικὰ
πάθη, καὶ τὰς φλεγμαινούσας ἡδονὰς καταμαραίνῃ ἡ προσδοκία τῆς ὀργῆς. Τίς
γὰρ ἐννοῶν τὴν φοβερὰν ἐκείνην ὀργήν, οὐ καταπλήσσεται, καὶ συστέλλεται τῇ διανοίᾳ,
εἰ μήτε παρέργως κέχρηται τῇ θεωρίᾳ; Ἐστέναξε, καὶ τὸ πρόσωπον τοῖς γόνασιν
ἐπιθεὶς ἔκλαυσε. Πῶς γὰρ οὐ φοβερὸν ἔσται ἀληθῶς, τοῖς καθαροῖς τῆς ψυ-
χῆς ὀφθαλμοῖς ὁρῶσι, τῇ σφοδροτάτῃ ῥύμῃ τοῦ πυρὸς ἐκείνου καὶ τὴν γῆν φρυσσο- A
μένην, καὶ τῶν οἰκητόρων τηκομένων, ὥσπερ κηρὸς, καὶ τοῦ καπνοῦ ἀνιόντος; Ἆρά γε
ἄλλως, ὑπομνήματα. οὐ δύναται ταῦτα τὰ *ὑποδείγματα τῶν προπεπονθότων καὶ ψυχὴν λελιθω-
μένην μαλάξαι; Τοιγαροῦν πυκνότερον τῇ ἱστορίᾳ ἐνατενίζωμεν, μᾶλλον δὲ
ἀπαραλείπτως, ἵνα τῇ σπουδῇ τῶν κρειττόνων, τῶν προειρημένων τὴν πεῖραν φύγω-
μεν. Ἡ γὰρ ἀμέλεια αὔξει τὴν ἀφοβίαν· ἐξ ἑκατέρων δὲ συνίσταται ἡ συνήθεια. B
Οἱ δὲ ἐν ἕξει τοῦ κακοῦ γινόμενοι, δυσέκβατοι ὑπάρχουσι τούτου, πάντοτε ἐπὶ
λύμῃ τοῦ πνευματικοῦ καρποῦ ἐπιρρέποντες. Πάλιν δὲ, ὡς ἐν εἰκόνι, φέρωμεν
τὴν μνήμην, πῶς ἡ μὲν Αἰγυπτία εἷλκε τὸν Ἰωσὴφ ἐπισπῶσα πρὸς ἑαυτήν·
Γένεσ. Λθ, α. κλ. ὁ δὲ θεοφιλὴς τὸ ἱμάτιον αὐτῇ καταλείψας καὶ ἀποδράσας τῆς μίξεως. καὶ
πάλιν τοὺς πρεσβυτέρους τοὺς ἐν Βαβυλῶνι, ὡς ἐν εἰκόνι, θεωρῶμεν τῇ διανοίᾳ Γ
πῶς ἤπειγον πρὸς αἰσχρουργίαν, τὴν μακαρίαν Σωσάνναν. αὕτη δὲ εὐσεβεῖ καὶ ἀνδρείῳ
λογισμῷ χρησαμένη, τούτους κατέβαλεν. Οὕτως οὖν καὶ ἡμεῖς ἀγωνισώμεθα

εἰλικρινεῖς, καὶ μάλιστα πεπεισμένοι, ὅτι οὐδὲν κρυπτόν, ὃ οὐ φανερωθήσεται, ἵνα εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, ταῦτα ἐφευρέθω περὶ ἡμῶν τῶν ὑμῶν ἐν τοῖς ἐπαινουμένοις, καὶ μὴ ἐν τοῖς ψεγομένοις. Περὶ δὲ τῶν ζητουμένων, καὶ τοῦ πῶς δεῖ συναναστρέφεσθαι ἀδελφοῖς, καὶ ἀρέσκειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, ὑμῶν προσευχομένων περὶ ἡμῶν, σημανοῦμεν ὑμῖν τῇ χάριτι τῇ ἡμῖν συνεργούσῃ. Ἔστω δὲ μεταξὺ ὑμῶν * καὶ ἐλπίδα ἀγαθήν, τοῖς ἐκζητοῦσιν αὐτὸν ἐν ἀληθείᾳ. Ἀσπάσασθε τοὺς σὺν σοὶ ἀδελφούς. Ἀσπάζονταί σε οἱ ἐνταῦθα ἀδελφοί.

Λουκ. η, ιζ.

* λείπει τινά.

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΛΟΓΟΣ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

ΑΔΕΛΦΟΙ μου φιλόχριστοι, ἀκούσατε περὶ τῆς δευτέρας καὶ φοβερᾶς παρουσίας τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐγὼ γὰρ ἐμνήσθην τῆς ὥρας ἐκείνης, καὶ ἐτρόμαξα ἀπὸ τοῦ πολλοῦ φόβου, ἐνθυμούμενος τὰ μέλλοντα τότε ἀποκαλύπτεσθαι. Τίς γὰρ αὐτὰ διηγήσεται; ποταπὴ γλῶσσα φθέγξεται; ποία δὲ ἀκοὴ χωρήσει ἐκεῖνα ἀκοῦσαι; ὅταν ὁ Βασιλεὺς τῶν βασιλευόντων ἐξαναστῇ ἀπὸ τοῦ θρόνου τῆς δόξης αὐτοῦ, κατελθεῖν ἐπισκέψασθαι πάντας τοὺς κατοικοῦντας τὴν οἰκουμένην, καὶ συνᾶραι λόγον μετ' αὐτῶν, καὶ ἀποδοῦναι τὸν καλὸν μισθὸν τοῖς ἀξίοις, τοῖς δὲ πάλιν ἀξίοις κολάσεως ἀποδοῦναι τὰς κολάσεις, ὡς δίκαιος Κριτής. Ταῦτα οὖν ἐνθυμούμενος, φόβῳ συνέχονταί μου τὰ μέλη, καὶ παραλέλυμαι πάντοθεν· οἱ ὀφθαλμοί μου δακρύουσι, ἡ φωνή μου ἐκλείπει, τὰ χείλη μου πεπήγασιν, ἡ γλῶσσά μου φρίττει, καὶ οἱ λογισμοὶ σιωπὴν μελετῶσιν. Ὢ πῶς ἀναγκάζομαι εἰπεῖν διὰ τὴν ὑμῶν ὠφέλειαν; καὶ ὁ φόβος κατεπείγει με σιωπᾶν. Τοιαῦτα γὰρ μεγάλα καὶ φοβερὰ θαύματα οὔτε ἐγένοντο ἀπ' ἀρχῆς κτίσεως, οὔτε μέλλει γίνεσθαι ἐν πάσαις ταῖς γενεαῖς. Ἄρτι μὲν γὰρ πολλάκις ἐὰν γένηται ἀστραπὴ τραχυτέρα, πάντα ἄνθρωπον ἐκθαμβεῖ, καὶ πάντες εἰς γῆν ἐπικλινόμεθα. Τότε δὲ πῶς ὑπενέγκωμεν, ὅταν ἀκούσωμεν τῆς φωνῆς τῆς σάλπιγγος ἐκ τῶν οὐρανῶν ὑπὲρ πᾶσαν βροντὴν καὶ κραζούσης, καὶ ἐξυπνιζούσης τοὺς ἀπ' αἰῶνος κοιμηθέντας δικαίους τε καὶ ἀδίκους. Τότε ἐν τῷ ᾅδῃ τὰ ὀστᾶ τῆς ἀνθρωπίνης φύσεως ἀκούσαντα τῆς φωνῆς τῆς σάλπιγγος, περιτρέχουσι μετὰ σπουδῆς, ζητοῦντα τὰς ἑαυτῶν ἁρμονίας, ὅταν ἴδωμεν πᾶσαν ποιὰν ἀνθρώπων ἐν ῥιπῇ ὀφθαλμοῦ ἀνισταμένους, ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἐπισυναγομένους ἐκ τῶν τεσσάρων περάτων τῆς γῆς πρὸς τὸ κριτήριον. Κελεύει γὰρ ὁ μέγας βασιλεύς, ὁ ἔχων ἐξουσίαν πάσης σαρκός, καὶ εὐθέως μετὰ τρόμου καὶ σπουδῆς δίδωσιν ἡ γῆ τοὺς νεκροὺς αὐτῆς, καὶ ἡ θάλασσα τοὺς ἑαυτῆς νεκρούς· εἴτε θηρία κατέφαγον, εἴτε ἰχθύες ἐμέλισαν, ἢ καὶ ὄρνεα διήρπασαν, πάντα ἐν ῥιπῇ ὀφθαλμοῦ παρίστανται, καὶ θρὶξ μία οὐκ ἀπολειφθήσεται. Πῶς ὑπενέγκωμεν, ἀδελφοί, ὅταν ἴδωμεν τὸν πύρινον ποταμὸν ἐξερχόμενον μετὰ θυμοῦ, ὥσπερ ἀγρίαν θάλασσαν, καὶ * κατεσθίοντα ὄρη καὶ νάπας, καὶ καταφλέγοντα πᾶσαν τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ ἔργα; Τότε, ἀγαπητοί, ἐκ τοῦ πυρὸς ἐκείνου οἱ ποταμοὶ ἐκλείψουσιν, αἱ πηγαὶ ἀφανίζονται, τὰ ἄστρα πίπτουσιν, ὁ ἥλιος σβεσθήσεται, ἡ σελήνη παρελεύσεται, ὁ οὐρανὸς εἱλιχθήσεται, ὡς βιβλίον, καθὼς γέγραπται. Τότε οἱ ἄγγελοι ἀποστελλόμενοι περιτρέχουσιν, ἐπισυνάγοντες τοὺς ἐκλεκτοὺς ἐκ τῶν τεσσάρων ἀνέμων, ὡς ἔφη ὁ

α Κορ. ιε, νβ. Ιεζεκ. λζ, ζ.

Ἀποκάλ. κ, ιγ.

Δαν. ζ, ι. * ἄλλ. κα[illegible]

Ματθ. κδ, κθ, λ, λα.

*

β Πετρ. Γ, ιγ. Αποκάλ. Κα, α. Κύριος, ἀπ' ἄκρων οὐρανῶν, ἕως ἄκρων αὐτῶν. Τότε θεασόμεθα οὐρανὸν καινὸν,
Ησ. Ξε, ιζ. καὶ γῆν καινὴν, κατὰ τὸ ἐπάγγελμα αὐτοῦ. Πῶς ὑπενέγκωμεν τότε, φιλόχριστοι,
Ξς, κβ. ὅταν ἴδωμεν φοβερὸν θρόνον ἑτοιμαζόμενον, καὶ τὸ σημεῖον τοῦ σταυροῦ
φαινόμενον, ἐν ᾧ προσηλώθη Χριστὸς ἑκουσίως ὑπὲρ ἡμῶν; Τότε πάντες θεασάμενοι
ἐκ τῷ ὕψει φανὲν τὸ φοβερὸν καὶ ἅγιον σκῆπτρον τοῦ μεγάλου Βασιλέως,
ἐπιγνώσκει λοιπὸν ἕκαστος καὶ μνημονεύει τὸν λόγον τοῦ Κυρίου προειρηκότος· ὅτι
Ματθ. Κδ, λ. φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ ἐν πληροφορίᾳ γίνονται
πάντες, ὅτι ὀπίσω τούτου ὁ Βασιλεὺς μέλλει ἀναφαίνεσθαι. Ἐν τῇ ὥρᾳ
ἐκείνῃ, ἀδελφοί μου, ἐννοεῖ ἕκαστος πῶς ἀπαντῆσαι τῷ φοβερῷ Βασιλεῖ, καὶ
ἀναλογίζεται πάσας τὰς πράξεις αὐτοῦ. Εἶτα καὶ θεωρεῖ τὰ ἴδια ἔργα ἔμπροσθεν
αὐτοῦ ἱστάμενα, εἴτε ἀγαθὰ, εἴτε φαῦλα. Τότε πάντες οἱ ἐλεήμονες καὶ
ἴσ. εὐχωλάς. οἱ μετανοήσαντες γνησίως χαίρουσι, βλέποντες τὰς * ἐντολὰς, ἃς προέπεμψαν.
Ὁρῶσι καὶ οἱ συμπαθεῖς τοὺς πτωχοὺς καὶ πένητας, οὓς ἐνταῦθα ἠλέησαν, παρακαλοῦντας
καὶ ὑπὲρ αὐτῶν, καὶ τὰ ἀγαθὰ αὐτῶν ἐξαγγέλλοντας ἐπὶ ἀγγέλων καὶ ἀνθρώπων·
οἱ δὲ πάλιν τὰ δάκρυα καὶ τοὺς κόπους τοὺς διὰ μετανοίας· καὶ αὐτοὶ
ἵστανται ἱλαροὶ καὶ φαιδροὶ καὶ ἔνδοξοι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ
Τίτ. Β, ιγ. ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ τί
συντόμως οὐ λέγω τὰ μείζονα; Ὅταν ἀκούσωμεν τῆς μεγάλης ἐκείνης φωνῆς, καὶ
Ματθ. Κε, ς. φοβερᾶς κραυγῆς, ἐκ τῶν ὑψωμάτων τοῦ οὐρανοῦ, λεγούσης· ἰδοὺ ὁ Νυμφίος
ἔρχεται, ἰδοὺ ὁ Κριτὴς παραγίνεται, ἰδοὺ ὁ Βασιλεὺς ἀναφαίνεται, ἰδοὺ ὁ Δικαστὴς
τῶν δικαστῶν ἀποκαλύπτεται, ἰδοὺ ὁ τῶν ὅλων Θεὸς ἔρχεται κρῖναι ζῶντας
καὶ νεκρούς. Τότε, φιλόχριστοι, ἐκ τῆς κραυγῆς ἐκείνης τρομάξουσι τὰ θεμέλια
καὶ οἱ νεφροὶ τῆς γῆς, ἀπὸ περάτων ἕως περάτων, καὶ θάλασσαι, καὶ πᾶσαι ἄβυσσοι.
Τότε, ἀδελφοί, στενοχωρία καὶ φόβος καὶ ἔκστασις ἐπὶ πάντα ἄνθρωπον ἐκ τῆς
κραυγῆς καὶ ἠχῆς τῆς σάλπιγγος, καὶ ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων
Ματθ. Κδ, κθ. τῇ οἰκουμένῃ. Αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καθὼς γέγραπται.
Τότε προτρέχουσιν ἄγγελοι, οἱ τῶν ἀρχαγγέλων χοροὶ συντρέχουσι, Χερουβὶμ
Αποκάλ. Δ, ς, η. καὶ Σεραφὶμ, καὶ τὰ πολυόμματα ἐν ἰσχύϊ καὶ δυνάμει κράζουσιν· ἅγιος,
ἅγιος, ἅγιος Κύριος σαβαὼθ, ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.
Τότε πᾶν κτίσμα ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, καὶ ὑποκάτω γῆς, ἐν τρόμῳ καὶ
Ματθ. Κα, θ. ἰσχύϊ βοήσει· εὐλογημένος ὁ ἐρχόμενος Βασιλεὺς ἐν ὀνόματι Κυρίου. Τότε
σχισθήσονται οἱ οὐρανοὶ, καὶ ἀποκαλυφθήσεται ὁ Βασιλεὺς τῶν βασιλευόντων, ὁ
ἄχραντος καὶ ἔνδοξος Θεὸς ἡμῶν, ὡς ἀστραπὴ φοβερὰ, μετὰ δυνάμεως πολλῆς
Αποκάλ. Α, ζ. καὶ δόξης ἀνεικάστου. καθὼς καὶ Ἰωάννης ὁ Θεολόγος ἐκήρυξε, λέγων· ἰδοὺ, ἔρχεται
ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ὄψεται αὐτὸν πᾶς ὁ ὀφθαλμὸς, καὶ οἵτινες
αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Ποταπὴ
ἄλλως, ὅτε. ἄρα ψυχὴ θέλει εὑρεθῆναι τότε, ἵνα δυνηθῇ ὑπομεῖναι; * ὅτι ὁ οὐρανὸς καὶ
Αποκ. Κ, ια. ἡ γῆ φυγῇ χρήσονται. ὥς φησιν ὁ Θεολόγος, πάλιν· εἶδον θρόνον λευκὸν μέγαν,
καὶ τὸν καθήμενον ἐπ' αὐτὸν, οὗ ἀπὸ προσώπου αὐτοῦ ἔφυγεν ὁ οὐρανὸς καὶ ἡ
ἄλλως, αὐτοῦ. γῆ· καὶ τόπος οὐχ εὑρέθη * αὐτοῖς. Εἶδες τοιοῦτον φόβον ποτέ; εἶδες τοιαῦτα
ἐξαίσια καὶ φοβερὰ πράγματα; Ὁ οὐρανὸς, καὶ ἡ γῆ φεύγει. καὶ τίς λοιπὸν
δύναται στῆναι; Ἡμεῖς οἱ ἁμαρτωλοὶ ποῦ φύγωμεν; ὅταν ἴδωμεν θρόνους

[illegible] Δαν. Ζ, 9, ι.

[illegible]

Ψαλμ. Ος, ια.

[illegible] Θεσ Σαλ. ε, θ. * Λουκ. ΙϚ, μη. Ματθ. Ζ, Β, Μάρκ. Δ, κδ.

[illegible]

ἑαυτ. Ποίοις ἔργοις; Ἀκούσον· πορνείας, μοιχείας, ἀκαθαρσίας, [illegible] φθόνῳ, φαρμακείᾳ, μαντείᾳ, ἐπαοιδίᾳ, [illegible] βλασφημίᾳ, ἔχθρᾳ, ἔριδι, ζήλῳ. Ἀποτάσσομαι μέθῃ, [illegible] φονίᾳ, [illegible] τάσσομαι [illegible] ὁρκοσκοπίαις, [illegible] Ἀποτάσσομαι [illegible]

Πράξ. Ιε, κθ. Κα, κε.

λοθύτῳ, αἵματι, πνικτῷ [illegible] Καὶ [illegible] γάρ [illegible] πάντα [illegible] Ἀποτάσσομαι πᾶσι τοῖς ἐν [illegible]

ἴσ. πείχοις, καὶ ἀνιάμμασι, καὶ βάμμασι.

καὶ δένδροις, [illegible] ἐν * [illegible] ἀτόποις ἔργοις, [illegible]

α Ιωάν. Α, ς.

α Πέτρ. Β. [illegible]

Ρωμ. Ζ, ιδ.

Λυκ. Α, οη.

Ζαχαρ. Γ, α. ς, ιβ.

ἄλλ. τοῦ σωτῆρος.

[illegible] ὅτι ἤμει πεπ[illegible] ἀπὸ τῆς ἁμαρτίας [illegible] Θεοῦ [illegible]

Εφεσ. Δ, κβ. Κολοσ. Γ, θ.

[illegible]

Ματθ. Ις, λζ.

Λυκ. Ιθ, κβ.

[illegible]

Εφεσ. ς, δ.

[illegible] Κυρίου [illegible]

Ρωμ. Ιδ, ι.

[illegible]

Δευτ. Λβ, λθ.

[illegible] χεῖρας [illegible]

μαθῶν [illegible] εἶπεν [illegible]
[illegible] χεῖρα [illegible] ἔρχο- Αποκ. [illegible]
[illegible] Ἀποστόλε, ταῦτα [illegible] [illegible]
[illegible] ἐστι [illegible] ἡμῖν, καὶ ὑμεῖς [illegible] β Τιμ. Β, [illegible]
Β. [illegible] Εἴ [illegible] χειρῶν [illegible]
[illegible] φιλόχριστοι, [illegible]
[illegible] ἔργα [illegible]
πάντες [illegible] ἔχθραν [illegible] α Κορ. Ιε, κδ, κε.
[illegible] γεγραμμένα. Τότε ἀφ- Ρωμ. Ιδ, [illegible] Ησ. Με, κγ.
Ι. ορίσει [illegible] ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν Φιλιπ. Β, ι. Ματθ. Κε, λβ.
ἐρίφων. Οἱ [illegible] ἔχοντες [illegible] χωρίζονται
ἀπὸ [illegible] Οὗτοί εἰσι
[illegible] καὶ [illegible]
φιλό[illegible] [illegible]
ΙΒ. [illegible] [illegible]
[illegible] Κύριο[illegible] Ματθ. Ε, ς.
[illegible] ἀδελφῶν [illegible]
[illegible] ἀπὸ
[illegible] Οὗτοί
Κ. εἰσιν [illegible] οἱ μὲν [illegible]
ἔχοντες [illegible] οἱ [illegible]
[illegible]
[illegible] χρήματα [illegible] [illegible]
ὥσπερ [illegible] Πλάτω[illegible] Λάζαρον [illegible] Λυκ. Ις, ιθ, κ.
ΚΕ. [illegible] τῆς [illegible] Ματθ. Γ, κ. Κε, γ.
χοι, [illegible]
Οἱ δὲ [illegible]
[illegible]
δας, καὶ ἀκούσει τῆς [illegible] Ματθ. Κε, λδ, λε, λς, μα, μβ, μγ, μδ, με, μς.
Λ. εὐλογημένοι [illegible] βασιλείαν
ἀπὸ καταβολῆς κόσμου. Οἱ δὲ [illegible]
[illegible] Πορεύεσθε ἀπ' ἐμοῦ [illegible] εἰς τὸ
πῦρ τὸ αἰώνιον, [illegible] αὐτῷ. [illegible]
ἠλεήσατε, [illegible]
ΛΕ. [illegible] οὐδὲ
[illegible] οὐδὲ
[illegible] ἐν φυλακῇ [illegible]
τος [illegible] Κυρί[illegible] [illegible]
[illegible] Δια[illegible] [illegible]
Μ. [illegible] εἰς [illegible] Εἰς [illegible]
ἡ κόλασιν [illegible] κο-
λάσεων [illegible] Ἐστι [illegible] Ματθ. [illegible] Μάρκ. Θ, μγ.

*

δῆλον ὅτι καὶ ἄλλο ἐσώτερον. Γέεννα τοῦ πυρὸς, τόπος ἄλλος. Βρυγμὸς ὀδόν-
Ἀπόκ. Ιθ, κ. των, τόπος ἴδιος. Σκώληξ ἀκοίμητος ἐν ἑτέρῳ τόπῳ ἐστί. Ἡ λίμνη τοῦ πυρὸς,
β Πέτρ. Β, δ. τόπος ἕτερος. Ὁ τάρταρος, τόπος ἴδιος. Τὸ ἄσβεστον πῦρ, ἰδία χώρα. Κα-
Ἐφεσ. Δ, θ. ταχθόνια καὶ ἀπώλεια ἐν ἰδίοις τόποις. Κατώτατος ᾅδης, ἄλλος τόπος. Ἄδης
Παροιμ. Ε, ε. ἔνθα ἀποστρέφονται οἱ ἁμαρτωλοί· καὶ πυθμὴν ᾅδου, τόπος χαλεπώτερος. E
Ἐν ταύταις ταῖς κολάσεσι καταμερίζονται οἱ ἐλεεινοὶ, ἕκαστος πρὸς ἀναλογίαν τῶν ἁμαρτημάτων αὐτοῦ, εἴτε βαρυτέρων, εἴτε μαλακωτέρων, κατὰ τὸ γεγραμ-
Παροιμ. Ε, κβ. μένον· ὅτι σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. τοῦτο δέ ἐστι καὶ τὸ,
Λουκ. Ιβ, μζ, μη. Δαρήσονται πολλὰς, καὶ ὀλίγας. Ὥσπερ δὲ ὧδέ εἰσι διάφοροι κολάσεων, οὕτω καὶ
ἐν τῷ μέλλοντι αἰῶνι. Οἱ δὲ ἔχοντες κατ᾽ ἀλλήλων ἔχθραν, ἐὰν συμβῇ τούτους I
οὕτως ἐκδημῆσαι ἐκ τοῦ σώματος, ἀπαραίτητον κρίμα εὑρήσουσιν ἐν ὥρᾳ κρίσεως, καὶ ὡς μεμισημένοι εἰς τὸ ἐξώτερον πῦρ ἀποπέμπονται καὶ σκότος ἀτελεύτητον, ὡς
Ματθ. Ε, μγ, μδ. καταφρονήσαντες τῆς ἐντολῆς τοῦ Κυρίου ἀκούσαντες, τῆς λεγούσης· ἀγαπᾶτε ἀλλήλους,
Λουκ. Ιη, κβ. καὶ συγχωρεῖτε ἕως ἑβδομηκοντάκις ἑπτά. Πᾶς δὲ ὁ μὴ ἁμαρτήσας [illegible] ὀφείλει
α Ἰωάν. Β, α, β. ἀμεριμνῶς διάγειν, οὐδὲ πάλιν ἀπογινώσκειν· διότι παράκλητον ἔχομεν πρὸς K
τὸν Πατέρα, Ἰησοῦν Χριστὸν, τὸν Θεὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν
Ἰωάν. Α, ε, ς. ἁμαρτιῶν ἡμῶν· οὐχὶ τῶν ἀναμαρτανόντων, οὐδὲ τῶν ἀμεριμνῶν καὶ * ῥεγχόντων, οὐδὲ τῶν τρυφώντων καὶ γελώντων· ἀλλὰ τῶν πενθούντων, καὶ μετανοούντων, καὶ βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας. οἱ καὶ παρακληθήσονται ὑπὸ τοῦ
Παρακλήτου. Ὁ δὲ ἁμαρτήσας, καὶ ἐπιλαθόμενος τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ οὕτως L
ἐκδημῶν τοῦ σώματος, ἐπὶ τοῦτον ἡ ὀργὴ τοῦ Θεοῦ ἐπαναπαύεται ἐκείνη, ἣν Μανασ-
Εὐχ. Μανασ. ε. σῆς ἐμνημόνευσεν, εἰπών· ὅτι ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου.
Ἡσ. Ε, ια, ιβ. Οὐαὶ τοῖς φιλοπόρνοις. καὶ τοῖς μεθύσοις. καὶ τοῖς μετὰ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσιν, οὐδὲ τῶν λόγων αὐτοῦ μνημο-
νεύουσιν. καὶ τοῖς ἐνυβρίζουσι τὰς Θείας Γραφάς. καὶ τοῖς ἀπολύουσι τὸν και- XL
ρὸν τοῦτον τῆς μετανοίας καὶ ἐπιστροφῆς, εἰς ματαιολογίας καὶ γελοῖα· ζητήσουσι γὰρ τὸν καιρὸν, καὶ οὐ μὴ εὕρωσιν, ὃν κακῶς ἐδαπάνησαν. καὶ τοῖς ἐν πνεύμασιν
α Τιμ. Δ, α. ἐπερωτῶσι πλάνοις, καὶ προσέχουσι διδασκαλίαις δαιμονίων, ὅτι σὺν αὐτοῖς κα-
Ἡσ. Ι, α. τακριθήσονται ἐν τῷ μέλλοντι αἰῶνι. καὶ τοῖς γράφουσιν ἀδικίαν. καὶ τοῖς
Σοφ. Σολ. Ιη, ε. περίεργα ποιοῦσι γοητείας, καὶ μαντείας, καὶ παιδοφθορίας, καὶ τὰ ὅμοια τού- Λ
τοις. καὶ τοῖς ἀποστεροῦσι μισθὸν μισθωτοῦ, ὅτι ὁ ἀποστερῶν μισθὸν ὡς ὁ ἐκχέων αἷμα. καὶ τοῖς ἀδίκως δικάζουσι, τοῖς δικαιοῦσι τὸν ἀσεβῆ, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴρουσιν. καὶ τοῖς μιαίνουσι τὴν ἁγίαν πίστιν ἐν αἱρέσεσιν, ἢ τοῖς αἱρετικοῖς συγκαταβαίνουσιν. καὶ τοῖς τὸ ἀνίατον πάθος νοσοῦσι, τοῦτ᾽ ἔστι τὸν φθό-
νον καὶ τὴν βασκανίαν. Καὶ τί πολλὰ λέγω; καὶ οὐ κόπτω ταχέως τὸν λόγον; ΛΕ
Οὐαὶ πᾶσι τοῖς ἐξ ἀριστερῶν λαχοῦσιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ, ὅτι σπα-ραχθήσονται, καὶ πικρὰ δακρύσουσιν, ὅτε ἀκούσωσι τῆς ἀπαραιτήτου ἐκείνης ἀποφά-
Ματθ. Κε, μα. σεως, τὸ, πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι. Ἄλλοι δὲ πάλιν ἀκούσουσι τῆς
ἀλλ. ἀποκρίσεως. ἔτι καὶ κρίσεως. λυπηρᾶς ἐκείνης * ἀποφάσεως, τὸ, ἀποστραφήσονται οἱ ἁμαρτωλοὶ εἰς τὸν
Ψαλμ. Θ, ιζ. ᾅδην. Ἄλλοι ἀκούουσι, τὸ, ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς, ἀπο- M
Λουκ. Ιγ, κζ. χωρεῖτε ἀπ᾽ ἐμοῦ, ἐργάται τῆς ἀδικίας. Ἄλλοι ἀκούσουσι, δηλονότι οἱ φθονεροὶ,
Ματθ. Κ, ιε. τὸ, ἆρον τὸ σὸν, καὶ ὕπαγε. καὶ τὸ ἄλλο, δηλονότι ὅπου οἱ ἀκούσαντες τὸ,

προδύεσθαι [illegible] οἱ [illegible] εἰς τὸ πῦρ. Ἐκεῖ [illegible] ἀκούσασι τό, δήσαντες
αὐτοῦ χεῖρας καὶ πόδας, ἐξαγάγετε εἰς τὸ σκότος τὸ ἐξώτερον. Ἄλλοι, ὡς Ματθ. ΚΒ. ιγ.
τὰ ζιζάνια, δεσμευθήσονται εἰς τὸ κατακαῦσαι ἐν τῇ καμίνῳ τοῦ πυρός.
Ὥσπερ δὲ πολλοὶ τρόποι τῆς σωτηρίας εἰσίν, οὕτω καὶ πολλαὶ μοναὶ ἐν τῇ
Ε. βασιλείᾳ τῶν οὐρανῶν. Καὶ ὥσπερ εἰσὶ πολλοὶ τρόποι τῶν ἁμαρτιῶν καὶ
τῶν ἁμαρτανόντων, οὕτω καὶ πολλοὶ τρόποι τῶν κολάσεων. Ὅσοι ἔχετε
δάκρυα καὶ κατάνυξιν, κλαύσατε μετ' ἐμοῦ. Ἐγὼ γάρ, ἀδελφοί μου
ἠγαπημένοι, [illegible] τὸν ἐκεῖνον [illegible] χωρισμόν, καὶ τὸ θαυμαστὸν [illegible]-
ρεῖν. Ἐν τῇ ὥρᾳ γὰρ ἐκείνῃ τῇ φοβερᾷ διαχωρίζονται ἀπ' ἀλλήλων τὸν ἐκεῖνον
Ι. χωρισμόν, καὶ ἀποδημοῦσιν ἕκαστος ἀποδημίαν ἐπιστροφὴν μὴ ἔχουσαν. Τίς
οὕτω λιθοκάρδιος, ὃς οὐ μὴ κλαύσει [illegible] τὴν ὥραν ἐκείνην; ὅπου δια-
χωρίζονται ἐπίσκοποι ἀπὸ συνεπισκόπων, [illegible],
διάκονοι ἀπὸ συνδιακόνων, καὶ ὑποδιάκονοι [illegible] ἀπὸ τῶν ἑταίρων αὐ- ἄλλ. ἀπὸ τῶν ἀναγνωστῶν καὶ τῶν ἑταίρων αὐτῶν.
τῶν. Τότε διαχωρίζονται [illegible] ἀπὸ βασιλέως, καὶ κλαύσουσι, καὶ [illegible]-
ΙΕ. ὡς ἀνδράποδα. Τότε [illegible] ἄρχοντες καὶ πλούσιοι [illegible], καὶ ἀπο-
βλέψουσι [illegible] στερούμενοι καὶ οὐδεὶς ὁ βοηθήσων [illegible]. Ἐφ. Ι. [illegible]
ὁ πλοῦτος φαίνεται, [illegible]
[illegible], ἵνα εὕρωσι. [illegible]
τὴν [illegible], ὅτι ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν. Τότε διαχωρί- Ψαλμ. [illegible]
Κ. ζονται γονεῖς ἀπὸ τέκνων, καὶ φίλοι ἀπὸ φίλων. Τότε ἀποχωρίζονται [illegible]- Ἐφ. Ιγ, δ.
γοῦς συζυγίαι, αἱ οὐκ ἐφύλαξαν [illegible] ἀμίαντον. Τότε διαχω-
ρίζονται οἱ ἐν σώματι [illegible], [illegible] καὶ [illegible]. Ἡ
κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος. Ἀλλὰ [illegible] B, ιγ.
ὅτι συνέχει με φόβος καὶ τρόμος ἐν τῇ [illegible]. Καὶ [illegible]-
ΚΒ. πῶ. Τότε λοιπὸν ἀπελαύνονται ἐκ τοῦ βήματος, καὶ [illegible] ἀγγέλων
αὐστηρῶν ὠθούμενοι, καὶ [illegible], καὶ [illegible] τρίζοντες, [illegible]
ἐπιστρεφόμενοι ἰδεῖν [illegible], καὶ τὴν χαρὰν [illegible] χωρίζονται. Καὶ βλέ-
πουσι τὸ φῶς ἐκεῖνο τὸ ἀνέκλειπτον, βλέπουσι [illegible], βλέ-
πουσι τοὺς γνωρίμους ἐν τῇ χαρᾷ ἐκείνῃ, βλέπουσι τὰς μεγάλας [illegible] δω-
Λ. ρεάς, ἃς λαμβάνουσι παρὰ τοῦ βασιλέως τῆς δόξης, οἱ [illegible] μενοι. β Τιμ. Δ, ζ.
Εἶτα κατὰ μικρὸν ἀποχωριζόμενοι πάντων τῶν [illegible], καὶ φίλων, καὶ γνωρίμων
λοιπὸν καὶ αὐτοῦ Θεοῦ ἀποκρύπτονται, μηκέτι [illegible] τὴν χαρὰν καὶ
τὸ φῶς ἐκεῖνο τὸ ἀληθινόν. Καὶ λοιπὸν [illegible] εἰς τὰς παρεσκευασ- ἄλλως, προειρη-μένας.
μένας κολάσεις, [illegible] ἐν αὐταῖς. Τότε θεω-
ΛΕ. ροῦντες τὴν παντελῆ αὐτῶν ἐγκατάλειψιν, καὶ [illegible] ἡ ἐλπὶς αὐτῶν ἀπώλετο,
καὶ οὐδεὶς ὁ βοηθήσαι δυνάμενος, ἢ παρακαλέσαι ὑπὲρ αὐτῶν. Δικαία γὰρ ἡ
κρίσις τοῦ Θεοῦ. Τότε λοιπὸν ἐν πικροτάτοις δάκρυσιν ὀλολύζοντες, λέγουσιν·
ὤ, πόσον καιρὸν ἀπωλέσαμεν ἐν ἀμελείᾳ; ὤ, πῶς [illegible]; ὤ, πῶς τῶν
Γραφῶν ἀκούοντες ἐχλευάζομεν; Ἐκεῖ ὁ Θεὸς ἐλάλει διὰ τῶν Γραφῶν, καὶ
Μ. οὐ προσείχομεν· ὧδε ἡμεῖς βοῶμεν, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἀποστρέφει
ἀφ' ἡμῶν. Τί ὠφέλησεν ἡμᾶς τὰ [illegible] τοῦ κόσμου; Ποῦ ὁ πατήρ, ὁ γεννή- ἴσως, πέρατα.
σας; Ποῦ μήτηρ, [illegible]; Ποῦ ἀδελφοί; Ποῦ τὰ τέκνα; Ποῦ οἱ φίλοι;

Ποῦ ὁ πλοῦτος; Ποῦ τὰ ὑπάρχοντα; Ποῦ οἱ [illegible]; Ποῦ τὰ [illegible]; Ποῦ ὁ πολὺς καὶ ἀκατάσχετος δρόμος; Ποῦ αἱ βασιλεῖς καὶ οἱ δυνάσται; Πῶς ἐκ πάντων τούτων οὐδεὶς ἡμᾶς συνοδεύειν δύναται, [illegible] δυνάμενος βοηθῆσαι. Ἀλλὰ παντελῶς ἐγκατελείφθημεν καὶ ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ τῶν ἁγίων. Τί ποιήσωμεν; ὅτι οὐκ ἔτι καιρὸς μετανοίας, οὐκ ἔτι ἡμῖν παράκλησις, οὐκ ἔτι τῶν δακρύων ι.
ὄφελος, οὐκ ἔτι φαίνονται αἱ [illegible] πτωχοὶ καὶ πένητες. ἐκλείπη γὰρ ἡ ἐμπορεία. Ὅτε εἴχομεν καιρὸν καὶ δυνάμεθα, καὶ οἱ [illegible] μετὰ δακρύων [illegible] τὰς θύρας ἡμῶν κλαίοντες, οὐκ ἠκούσαμεν, οὐδὲ ἠγοράσαμεν. Νῦν οὖν ἡμεῖς ζητοῦμεν, καὶ οὐχ εὑρίσκομεν. Οὐκ ἔτι ἀνάῤῥυσις ἡμῖν τῶν ἐλεημοσυνῶν. Οὐκ ἔτι ἐλέους τυγχάνομεν· οὐδὲ γὰρ ἐσμὲν ἄξιοι. Δικαία ἡ κρί- ι.
σις τοῦ Θεοῦ. Οὐκ ἔτι ὀψόμεθα τὰ τάγματα τῶν ἁγίων, οὐκ ἔτι θεασόμεθα τὸ φῶς τὸ ἀληθινόν· ἀπεστερήθημεν ἀπὸ πάντων. Καὶ λοιπὸν, τί εἴπωμεν; Σώζεσθε, πάντες οἱ δίκαιοι σώζεσθε, Ἀπόστολοι καὶ Προφῆται καὶ μάρτυρες· σώζου, ὁ χορὸς τῶν πατριαρχῶν· σώζεσθε, τάγματα τῶν μοναζόντων· σώζου, τίμιε καὶ ζωοποιὲ σταυρέ· σώζου, ἡ βασιλεία τῶν οὐρανῶν· σώζου, ἡ ἄνω Ἱερουσαλήμ, ἡ ια.
Εζρ. ΙϚ, [illegible] μήτηρ τῶν πρωτοτόκων· σώζου, ὁ παράδεισος τῆς τρυφῆς· σώζου καὶ σύ, Δέσποινα Θεοτόκε, ἡ μήτηρ τοῦ φιλανθρώπου Θεοῦ· σώζεσθε, πατέρες καὶ μητέρες, υἱοὶ καὶ θυγατέρες· οὐκ ἔτι ὀψόμεθά ποτε ὑμᾶς. Καὶ λοιπὸν ἀπέρχεται ἕκαστος εἰς τὸν ἡτοιμασμένον αὐτῷ τόπον τῆς βασάνου, κατὰ τὰ πονηρὰ αὐτοῦ ἔργα, ὅπου ὁ
Μάρκ. Θ, μδ. σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Ἰδοὺ, [illegible] ἡμῶν ι.
Ησ. Ξϛ, κδ. ἐπήρχετο, καὶ τὸ ἐπιθυμητὸν [illegible]. Ἰδοὺ, ἔγνωτε τί ἑαυτοῖς [illegible]ζομεν. Ἰδοὺ ἠκούσατε τί κερδαίνουσιν οἱ ἀμελοῦντες καὶ ῥᾳθυμοῦντες, καὶ μὴ μετανοήσαντες. Ἠκούσατε πῶς χλευάζονται οἱ χλευάζοντες τὰς τοῦ Κυρίου ἐντολάς. Ἠκούσατε πῶς ἀπατᾷ καὶ πλανᾷ τοὺς πολλοὺς ὁ ψυχοφθόρος οὗτος βίος. Ἔγνωτε πῶς ἐμπαίζονται οἱ ἐμπαῖκται τῶν Θείων Γραφῶν. Μηδεὶς [illegible] ια.
ἀγαπητοί μου, [illegible], μήτις ἐννοήσῃ, ὅτι λόγοι εἰσὶ μόνον ψιλοὶ [illegible] κρίσεως λεγόμενα. Ἀλλὰ ἀκριβῶς καὶ ἀσφαλῶς πάντες πιστεύσωμεν τοῦ Κυρίου, ὅτι ἔστιν [illegible] κρίσις, καὶ ἀνταπόδοσις τῶν τε καλῶν καὶ τῶν φαύλων, κατὰ τὰς Θείας Γραφάς. Καὶ πάντα προειδότες τὰ [illegible] αὐτῶν, φροντίσωμεν τῆς ἀπολογίας καὶ παραστάσεως τοῦ φο- ι.
βεροῦ βήματος καὶ τῆς φρικτῆς ἐκείνης καὶ φοβερᾶς ὥρας. Αὕτη γάρ ἐστιν ἡ ὥρα, ἡ [illegible], ἡ πολυώδυνος, ἡ πολύθλιπτος, ἡ δοκιμάζουσα ὅλον τὸν βίον. Περὶ ταύτης τῆς φρικτῆς ἡμέρας καὶ ὥρας, οἱ ἅγιοι Προφῆται καὶ Ἀπόστολοι προεῖπον. Περὶ ταύτης τῆς ἡμέρας καὶ ὥρας, ἡ Θεία Γραφὴ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, ἐν ταῖς ἐκκλησίαις, καὶ παντὶ τόπῳ, βοᾷ, ια.
καὶ διαμαρτύρεται πᾶσι, καὶ παραγγέλλει, λέγουσα· βλέπετε, γρηγορεῖτε, προσέχετε, νήφετε, προσεύχεσθε, ἐλεεῖτε, γίνεσθε ἕτοιμοι, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν,
Ματθ. ΚΕ, ιγ. ἢ τὴν ὥραν, ἐν ᾗ ὁ Κύριος ἔρχεται. Πάντες οὖν, ὡς εἶπον, οἱ θεοφόροι μετὰ πόνων καὶ δακρύων κράζουσι, προμηνύοντες τῆς ἡμέρας ἐκείνης τὴν ἀνάγκην.
Ησ. ΙΓ, θ. Περὶ ταύτης τῆς ἡμέρας ἔλεγεν Ἡσαΐας ὁ Προφήτης· ἰδοὺ ἡμέρα ἔρχεται ια.
Μ, ι. ΞϚ, ια. καταφθεῖραι πᾶσαν τὴν γῆν, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. Καὶ πάλιν ὁ αὐτὸς Προφήτης λέγει· ἰδοὺ Κύριος ἔρχεται, καὶ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ

ἔργον [illegible] Ἄλλος Προφήτης βοᾷ [illegible] Κύριος [illegible] — Μαλαχ. Γ, α, β.
[illegible] ἢ [illegible] ἐν τῇ [illegible]
Ἕτερος δὲ [illegible] Κύριος [illegible] — Αμβακ. Γ, β, ιϛ.
[illegible] Ἕτερος Προφήτης βοᾷ [illegible]
Η. [illegible] Κυρίου [illegible] ἐν ἡμέρᾳ [illegible] — Δευτ. ΛΒ, λε.
[illegible] Περὶ [illegible] ὁ [illegible] Δαβὶδ [illegible] — Ψαλμ. Ν, [illegible]
ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ [illegible] — Γαλ. Ε, ιϛ, [illegible]
[illegible] σφόδρα. [illegible]
Παῦλος ὁ Ἀπόστολος ἐν ἡμέρᾳ, [illegible] ὁ Θεὸς [illegible] — Ρωμ. Β, ιϛ.
Ι. τὸ Εὐαγγέλιόν μου [illegible] * φοβερὸν [illegible] — Εφεσ. Β, ιε. * Εβρ. Ι, λα.
ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. [illegible] ὁ [illegible]
τῶν Ἀποστόλων, περὶ τῆς ἡμέρας [illegible] Κυρίου [illegible]
ἐν νυκτὶ, [illegible] ἔρχεται [illegible]
[illegible]. Καὶ τί λέγω [illegible] Προφήτας καὶ Ἀποστόλους; Αὐτὸς ὁ Δε- — Ματθ. [illegible]
ΙΕ. σπότης ἡμῶν ὁ Κύριος [illegible] περὶ τῆς ἡμέρας [illegible] λέγων, βλέ- — Λουκ. Κα, λδ, λϛ. Ματθ. Κδ, μδ.
πετε, μήποτε βαρηθῶσιν [illegible] ἐν [illegible] καὶ μέθῃ, καὶ μερίμναις
βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύ-
σεται ἐπὶ [illegible]
ὥρᾳ [illegible] ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. [illegible] — Λουκ. Ιγ, κδ.
Κ. πύλης [illegible] εἰς τὴν ζωήν. [illegible]
ἵνα ζωὴν [illegible] κληρονομήσωμεν [illegible]
κληρονομίαν τὴν αἰώνιον, αὕτη γάρ [illegible] — Ματθ. [illegible]
εὑρίσκοντες αὐτήν, [illegible] Μηδεὶς [illegible]
* ὑμῶν [illegible] βαδίζειν [illegible] ὁ Προφή- — ἄλλως, ἡμῶν.
ΚΒ. της λέγει· μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ἀκούομεν — Ψαλμ. Β, ιβ.
τοῦ Δεσπότου λέγοντος· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. ἐγώ εἰμι ἡ ζωή. [illegible] — Ιωάν. Η, ιβ. Ια, Θ, κε.
ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται. ἐγώ εἰμι ἡ ὁδός. ὁ ἐμοὶ ἀκολου- — Ι, Θ.
θῶν οὐ μὴ περιπατήσει, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. [illegible] — Ιδ, ϛ.
ὁδὸν βαδίσωμεν, [illegible] οἱ [illegible] τοῦ Χριστοῦ. [illegible] — Εφ. [illegible]
Λ. βαδίσματα [illegible], ἀλλ' ἡ [illegible] [illegible]
[illegible], ἀλλ' ἡ [illegible] βαδίσματα [illegible]
[illegible]. Ταύτης τὰ βαδίσματα [illegible] — Ματθ. [illegible]
[illegible], ἀγρυπνία, ταπεινοφροσύνη, [illegible] σαρκός,
ἐπιμέλεια ψυχῆς, χαμαικοιτία, [illegible] ξηροφαγία, πεῖνα, δίψα, γυμνότης, — [illegible]
ΛΕ. ἐλεημοσύνη, δάκρυα, [illegible], στεναγμοὶ, [illegible], διωγμοὶ, [illegible]
[illegible], κολαφισμοὶ, * κόποι [illegible] χειρῶν, [illegible], τὸ [illegible]
[illegible] καὶ ὑπομένειν, τὸ μισεῖσθαι καὶ μὴ μισεῖν, τὸ κακὰ πάσχειν καὶ καλὰ ἀντα- — χόλιον.
διδόναι, τὸ ἀφιέναι τοῖς ὀφειλέταις τὰ ὀφειλήματα, τὸ τιθέναι τὴν ψυχὴν
ὑπὲρ τοῦ [illegible], τὸ ἐκχέειν τὸ αἷμα ὑπὲρ τοῦ Χριστοῦ, ὅταν ὁ καιρὸς
Μ. ἀπαιτεῖ. Ταύτης τῆς [illegible] καὶ τεθλιμμένης ὁδοῦ τὰ βαδίσματα ὁ [illegible]
* ἔχῃ, μακαρίων [illegible], † [illegible], [illegible] — * ἴσως, ἀρχῆ. † ἴσως, οὐρανῶν βασιλείαν.
ποτε. [illegible] ἡ [illegible], καὶ εὐρύχωρος ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν.

Ταύτης τὰ βαδίσματα εἰσι [illegible] τὸ πεδίον [illegible], [illegible] ἐκεῖθεν [illegible]
πηγαί· ἔνθεν γλυκεῖαι, ἐκεῖθεν δὲ πικρόταται χολῆς· ἔνθεν [illegible], ἐκεῖθεν
βαθεῖαι καὶ ἐπώδυνοι· [illegible] φαίνονται, [illegible] καὶ [illegible] ἐκεῖθεν
ὥσπερ θῆρες ἄγριοι κυκλοῦσιν [illegible], καὶ μὴ [illegible], κατὰ τὸν λόγον
Ψαλμ. ΜΘ, ε. τοῦ Προφήτου. Φησὶ γάρ· ἐν ἡμέρᾳ πονηρᾷ ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει E
ἴσως, πορνεία. με· τουτέστιν ἡ * πορνεία τοῦ [illegible] τούτου, ἤγουν τῆς πλατείας ὁδοῦ τὰ βαδίσματα·
Γαλ. Ε, ιθ, κ, κα. ἅπερ καὶ ὁ Ἀπόστολος [illegible] ἀπαριθμούμενος, λέγων· ἅτινά ἐστι, πορνεία, μοιχεία,
ἀσέλγεια, εἰδωλολατρεία, [illegible], ζῆλος, θυμὸς, διχοστασία, φθόνοι, φόνοι, καὶ τὰ
ὅμοια τούτοις, τῆς πλατείας ὁδοῦ εἰσι τὰ βαδίσματα. Ὡσαύτως δὲ καὶ γέλωτες,
[illegible], τρυφαὶ, [illegible], αὐλοὶ, χορεύματα, λουτρὰ, μαλακὰ ἐνδύματα, I
[illegible] πολυτελῆ, κρότοι χειρῶν καὶ θόρυβοι, ὕμνοι [illegible] [illegible]
[illegible] καὶ κλῖναι διάφοροι, ἀδιαφορία, [illegible], τὸ δὲ πάντων χεῖρον,
[illegible], καὶ τὸ μηδέποτε μνημονεύειν τῆς ἐξόδου τῆς ἐκ τοῦ βίου. Ταῦτα
Ματθ. Ζ, ιγ. εἰσὶ τὰ βαδίσματα τῆς χαλεπῆς ἐκείνης ὁδοῦ, ἣν πολλοί εἰσιν οἱ [illegible].
Λουκ. ΚΑ, λδ, λε. Ματθ. ΚΔ, μθ. καὶ τὸ [illegible] ἐπιτήδειον [illegible] ἀντὶ τῆς τρυφῆς, [illegible] ἀντὶ τῆς Θ
μέθης, τῆς δίψης [illegible], τὴν [illegible] ἀντὶ τοῦ γέλωτος, οἱ
ὀδυρμοὶ ἀντὶ τῆς κιθάρας, οἱ κλαυθμοὶ ἀντὶ τῆς [illegible], τὸ [illegible]
ἀντὶ τῆς [illegible], τὴν [illegible] ἀντὶ τῶν χορευμάτων, τὸ τῶν [illegible]
Λουκ. Γ, κδ. [illegible]· ἀντὶ τῶν [illegible], [illegible], καὶ λοιπῶν ἐπιτηδευμάτων πονηρῶν, τὸ
ἐξώτερον σκότος, τὴν γέενναν [illegible], καὶ τὰ τούτων ὅμοια, ἅπερ [illegible] τοῦ K
θανάτου· ἔνθα ποιμαίνει [illegible] [illegible], καὶ [illegible] [illegible], καὶ φίλους,
Ψαλμ. ΜΘ, ιδ. τοὺς βαδίζοντας τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδόν· κατὰ τὸν λόγον τοῦ Προφήτου·
φησὶ γάρ· ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς. Ἡμεῖς δὲ,
ἀγαπητοὶ ἀδελφοὶ, ἐκκλίνωμεν ἐκ τῆς χαλεπῆς ἐκείνης ὁδοῦ, ἀκούσωμεν τοῦ Κυ-
Λουκ. Ιγ, κδ. ρίου λέγοντος· ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· λέγω γὰρ ὑμῖν, ὅτι
πολλοὶ ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσι. Καὶ πολλὰ ἕτερα ὁ Κύριος, καὶ
πάντες οἱ θεοφόροι, ὅμοια τούτοις βοῶσι. Ταύτην τὴν ἡμέραν κατὰ νοῦν λαβόν-
τες οἱ ἅγιοι μάρτυρες οὐκ ἠλέησαν τὰ ἑαυτῶν σώματα, ἀλλὰ πᾶν εἶδος κο-
Εβρ. Ια, λη. λαστηρίων ὑπέμειναν, χαίροντες τῇ ἐλπίδι τῶν στεφάνων. Ἄλλοι ἐν ἐρημίαις, καὶ
ὄρεσιν, ἐν νηστείᾳ, καὶ παρθενίᾳ ἠγωνίσαντο, καὶ νῦν ἀγωνίζονται· οὐ μόνον ἄνδρες, Λ
ἀλλὰ καὶ γυναῖκες, τὸ ἀσθενέστερον μέρος, καὶ τὴν στενὴν πύλην καὶ τεθλιμμένην
Ματθ. Ια, ιβ. ὁδὸν βαδίσασαι ἥρπασαν τὴν βασιλείαν τῶν οὐρανῶν. Τίς οὖν ὑπομένει τὴν αἰσχύνην
ἐκείνην, ὅτε γυναῖκες στεφανωθήσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ πολλοὶ ἄνδρες
ἄλλ. κατακριθήσονται; * καταισχυνθήσονται; Οὐκ ἔστι γὰρ ἐκεῖ ἄρσεν καὶ θῆλυ, ἀλλ' ἕκαστος τὸν ἴδιον μι-
Γαλάτ. Γ, κη. σθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. Οὐ μόνον δὲ ἐν ταῖς ἐρήμοις καὶ ὄρεσι τοῦτο
γέγονεν· ἀλλὰ πολλῷ μᾶλλον ἐν ταῖς πόλεσι, καὶ ἐν ταῖς νήσοις, καὶ ἐν ταῖς
ἐκκλησίαις τὰ πλήθη τῶν σωζομένων ἐξέλαμψαν, σπουδαίως ἕκαστος ἐν τῷ
ἰδίῳ τάγματι τὰς ἐντολὰς τοῦ Δεσπότου φυλάξαντες· ἐπίσκοποι, πρεσβύ-
τεροι, καὶ τὰ λοιπὰ τάγματα τῆς ἐκκλησίας· βασιλεῖς τε καὶ ἄρχοντες, ἄρ-
χαί τε καὶ ἐξουσίαι. Οὐ γὰρ ὁ δεσπότης Θεὸς διαφόρους ἐπαίνεσεν, ἢ παρεπέ- M
Ματθ. Ιη, κ. μνησε τόπον τοῦ τόπου· ἀλλ' οὕτως ἔφη· ὅπου ἐὰν ὦσιν εἰς τὸ ἐμὸν ὄνομα συνηγ-
μένοι, τουτέστι καὶ ἐν ἐρημίᾳ, καὶ ἐν ὄρεσιν, ἢ ἐν σπηλαίοις, ἢ ἐν παντὶ τόπῳ τῆς

δεσποτείας μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν, καὶ μετ' αὐτῶν ἔσομαι ἕως τῆς
συντελείας τοῦ αἰῶνος, καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἐγὼ ποιμανῶ αὐτοὺς εἰς
ἀπεράντους αἰῶνας. Ἐκεῖνο τὸ φοβερὸν δικαστήριον, καὶ τὸν ἀπολογήσαντα τὸν Δι-
καστὴν ἐννοῶν ὁ μακάριος Δαβὶδ, καθ' ἑκάστην νύκτα τὴν κλίνην τοῖς δάκρυ- Ψαλμ. ϛ, ϛ. Ρμγ, β.
E. σιν ἔβρεχε, καὶ παρεκάλει τὸν Θεὸν, λέγων· Κύριε μὴ εἰσέλθῃς εἰς κρίσιν
μετὰ τοῦ δούλου σου, μηδὲ θελήσῃς εἰπεῖν δίκην μετ' ἐμοῦ, φιλάνθρωπε.
πάσης γὰρ ἀπολογίας ἀπορῶν, διὰ τοῦτο δυσωπῶ τὴν σὴν ἀγαθότητα, μὴ εἰσέλ-
θῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. ἐὰν γὰρ τοῦτο βουληθῇς ποιῆσαι, οὐ δικαιωθήσεται
ἐνώπιόν σου πᾶς ζῶν. Ὁρᾶτε, ἀδελφοὶ, τὸν μακάριον Δαβὶδ, φοβούμενον τὴν
I. ἡμέραν ἐκείνην καὶ ὥραν, παρακαλοῦντά τε, καὶ πρὸς ἀπολογίαν εὐτρεπιζόμενον.
Δεῦτε οὖν καὶ ὑμεῖς, ἀδελφοὶ φιλόχριστοι, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν ἐκείνην,
πρὶν λυθῆναι τὴν πανήγυριν, πρὶν ὁ Θεὸς ἐμφανῶς ἥξῃ, καὶ εὕρῃ ὑμᾶς ἀνετοί-
μους. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἐν μετανοίᾳ, ἐν
προσευχαῖς, ἐν νηστείαις, ἐν δάκρυσιν, ἐν ξενοδοχίαις. Προφθάσωμεν, πρὶν
IE. αὐτὸν ἐμφανῶς ἥξειν, καὶ εὑρεῖν ἡμᾶς ἀνετοίμους. Μὴ παυσώμεθα μετανοεῖν,
καὶ παρακαλεῖν ἐμπόνως, καὶ ἑτοιμάζεσθαι εἰς τὴν τοῦ Κυρίου ἀπάντησιν, πάντες ὁμοῦ
ἄνδρες καὶ γυναῖκες, πλούσιοι καὶ πένητες, δοῦλοι καὶ ἐλεύθεροι, πρεσβῦται καὶ νέοι.
Ὁρᾶτε μή τις εἴπῃ, ὅτι πολλὰ ἥμαρτον, καὶ οὐκ ἔχω ἄφεσιν. Ὁ λέγων τοῦτο,
οὐκ οἶδεν ὅτι ὁ Θεός ἐστι τῶν μετανοούντων ὁ διὰ τοὺς κακῶς ἔχοντας παραγενό- Εὐχ. Μανασ. ιϛ. Λυκ. Ε, λα, λϐ.
K. μενος· ὁ εἰπὼν, ὅτι χαρὰ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· ὁ εἰπὼν, ὅτι Ιε, ζ.
οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς, εἰς μετάνοιαν. Αὕτη δέ ἐστιν ἡ ἀλη-
θὴς μετάνοια, τὸ ἀποστῆναι ἀπὸ τῆς ἁμαρτίας καὶ μισῆσαι αὐτὴν. κατὰ τὸν λέ-
γοντα, ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην. καὶ τὸ, ὤμοσα καὶ ἔστησα τοῦ φυ- Ψαλμ. Ριθ, ρξγ, ϛε.
λάξασθαι τὰ κρίματά σου. Καὶ τότε ὁ Θεὸς μετὰ χαρᾶς δέχεται τὸν προσερχόμενον
KE. αὐτῷ. Βλέπετε δὲ, μή τις εἴπῃ τολμήσας, ὅτι οὐχ ἥμαρτον. Ὁ λέγων τοῦτο,
τυφλός ἐστι, μυωπάζων, καὶ ἑαυτὸν φρεναπατᾷ, καὶ οὐκ οἶδε πῶς κλέπτει αὐτὸν
ὁ Σατανᾶς, καὶ ἐν λόγοις, καὶ ἐν ἔργοις, καὶ διὰ τῆς ἀκοῆς, καὶ διὰ τῶν ὀφθαλμῶν,
καὶ διὰ τῆς ἁφῆς, καὶ διὰ τῶν λογισμῶν. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν
καρδίαν, καὶ πάσας τὰς αἰσθήσεις αὐτοῦ καθαράς; διότι οὐδεὶς ἀναμάρτητος,
Λ. οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδεὶς ἀνεπαίσθητος παντελῶς ἐν ἀνθρώποις, εἰ μὴ
μόνος ὁ δι' ἡμᾶς πτωχεύσας, πλούσιος ὤν. Αὐτὸς μόνος ἀναμάρτητος, ὁ αἴρων β Κορ. Η, θ.
τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, ὁ μὴ βουλόμενος
τὸν θάνατον τῶν ἁμαρτωλῶν, ὁ φιλάνθρωπος, ὁ πολυεύσπλαγχνος ὁ ἐλεή-
μων, ὁ ἀγαθὸς, ὁ φιλόψυχος, ὁ παντοδύναμος, ὁ σωτὴρ πάντων ἀνθρώπων,
ΛE. ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν, ὁ τῶν μετανοούντων Θεὸς, ὁ ἰατρὸς
τῶν ψυχῶν καὶ τῶν σωμάτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων
λιμὴν, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ὁδὸς τῆς ζωῆς, ὁ πάντας πρὸς μετάνοιαν
καλῶν, καὶ μηδένα ἀποστρεφόμενος τῶν μετανοούντων. Πρὸς τοῦτον καταφύ-
γωμεν καὶ ἡμεῖς· πάντες γὰρ ὅσοι κατέφυγον ἁμαρτωλοὶ πρὸς αὐτὸν, σωτη-
M. ρίας ἔτυχον. Καὶ ἡμεῖς οὖν, ἀδελφοί μου, μὴ ἀπογνῶμεν τῆς ἑαυτῶν σωτηρίας.
Ἡμάρτομεν; μετανοήσωμεν. Μυριάκις ἡμάρτομεν; μυριάκις μετανοήσω-
μεν. Ἐπὶ παντὶ ἔργῳ ἀγαθῷ χαίρει ὁ Θεὸς, ἐξαιρέτως δὲ ἐπὶ μετανοούσῃ ψυχῇ.

ἴσ. ἐπικάμπτεται. ἐπὶ ταύτῃ γὰρ ὅλος * ἐπικαλύπτεται, καὶ ἰδίαις χερσὶν ὑποδέχεται, καὶ προσκα-
Ματθ. Ια, κη. λεῖται, λέγων· δεῦτε πρός με, πάντες οἱ κοπιῶντες, ὅτι τὸν ἐρχόμενον πρός
με οὐ μὴ ἐκβάλλω ἔξω. δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι,
καὶ ἀναπαύσω ὑμᾶς εἰς τὴν ἄνω πόλιν, ἔνθα πάντες οἱ ἅγιοί μου ἐν μεγάλῃ χαρᾷ
ἀναπαύονται. δεῦτε εἰς ἐκείνην τὴν χαρὰν τὴν ἀνεκλάλητον, τὴν ἀνείκαστον, τὴν E.
α Πέτρ. Α, ιβ. ἀνεκδιήγητον, εἰς ἐκεῖνα τὰ ἀγαθὰ, ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι, ὅπου
οἱ χοροὶ καὶ τὰ τάγματα τῶν δικαίων. Ἐκεῖ ὁ κόλπος τοῦ Ἀβραὰμ ὑποδέχεται
τοὺς ὑπομένοντας τὰς θλίψεις, καθὼς καὶ τόν ποτε πτωχὸν Λάζαρον. Ἐκεῖ
ἀνοίγονται οἱ θησαυροὶ τῶν αἰωνίων μου ἀγαθῶν. Ἔνθα ἡ ἄνω Ἱερουσαλὴμ ἡ
μήτηρ τῶν πρωτοτόκων. Ἐκεῖ ἐστὶν ἡ μακαρία γῆ τῶν πρᾳέων. Δεῦτε πρός με I.
πάντες, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἐκεῖ, ὅπου πάντα ἤρεμα καὶ ἀστασίαστα, ὅπου
τὰ φωτεινὰ καὶ θεάρεστα, ὅπου οὐδεὶς ὁ ἀδικῶν οὐδὲ τυραννούμενος, ὅπου οὐκ
ἔτι ἁμαρτία, οὐδὲ μετανόησις, ἔνθα φῶς τὸ ἀπρόσιτον, καὶ χαρὰ ἀνεκλάλη-
Ματθ. Ε, δ. τος. Μακάριοι οἱ πενθοῦντες. Πενθήσατε, μετανοήσατε, ἐπιστρέψατε πρός
με· κἀγὼ ἀναπαύσω ὑμᾶς, ἔνθα οὐκέτι πόνος, οὐδὲ δάκρυον, οὐδὲ φροντὶς, II.
οὐδὲ μέριμνα, οὐδὲ ὀδυρμός. Ἐπιστρέψατε, υἱοὶ τῶν ἀνθρώπων, κἀγὼ ἀναπαύσω
ὑμᾶς, ὅπου οὐκέτι ἄρσεν καὶ θῆλυ, ὅπου οὐκέτι διάβολος, οὐδὲ θάνατος, οὔτε νη-
στεία, οὔτε λύπη, οὔτε ἔρις, οὔτε ζῆλος· ἀλλὰ χαρὰ καὶ εἰρήνη, καὶ ἀνάπαυσις καὶ
ἀγαλλίασις. Ἐπιστράφητε πρός με, κἀγὼ ἀναπαύσω ὑμᾶς, ὅπου τὸ ὕδωρ τῆς
ἀναπαύσεως, καὶ ὁ τῆς χλόης τόπος, καὶ ἡ παρὰ τοῦ Θεοῦ τῶν ὅλων γεωργουμένη K.
Ἰωάν. Ιε, α. ἄμπελος, εἰς ἐκείνην τὴν μακαρίαν γῆν τῶν πρᾳέων, ἐφ' ἧς ἐγὼ ἡ ἀληθινὴ ἄμ-
πελος βλαστάνω, ἧς γεωργὸν τὸν Πατέρα ἀκούετε. Δεῦτε πάντες οἱ κοπιῶντες
καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, ὅπου ἡ ἀκήρατος ζωὴ, καὶ ἡ πάσης
ἀγαθότητος εὐφροσύνη. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, κἀγὼ ἀνα-
παύσω ὑμᾶς, ἔνθα τὸ μόνον ἐράσμιον, τὸ διηνεκὲς ἀγαλλίαμα, ἡ ἀΐδιος εὐ- KE.
φροσύνη, τὸ ἀνέσπερον φῶς, ὁ ἄδυτος ἥλιος. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς,
Ματθ. Ια, κθ. καὶ μάθετε, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς
Κολοσ. Β, γ. ψυχαῖς ὑμῶν· ἔνθα ἦχος τῶν ἑορταζόντων, ἔνθα οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς
γνώσεως ἀπόκρυφοι ἀνακαλύπτονται. Δεῦτε πρός με πάντες, κἀγὼ ἀναπαύσω
ὑμᾶς, ἔνθα μεγάλη δωρεὰ, ἀνείκαστος χαρὰ, ἀμετάτρεπτος εὐφροσύνη, Λ.
ἄληκτος ὑμνολογία, ἀσίγητος δοξολογία, ἀκατάπαυστος εὐχαριστία, ἀδιά-
λειπτος θεολογία, ἀτελεύτητος βασιλεία, ἄπειρος πλοῦτος, ἀπέραντοι αἰῶ-
νες, ἄβυσσος οἰκτιρμῶν, ἐλέους πέλαγος καὶ φιλανθρωπίας, ἀνθρωπίνοις στόμασι
λαληθῆναι μὴ δυνάμενα, ἀλλὰ μόνον δι' αἰνιγμάτων παραδηλούμενα. Ἐκεῖ
μυριάδες ἀγγέλων, πρωτοτόκων πανηγύρεις, ἀποστόλων θρόνοι, προφητῶν ΛE.
προεδρίαι, σκῆπτρα πατριαρχῶν, μαρτύρων στέφανοι, δικαίων ἔπαινοι. Ἐκεῖ
πάσης ἀρχῆς, ἐξουσίας, καὶ τάξεως ὁ μισθὸς ἀπόκειται, καὶ ὁ τόπος ἡτοίμασται.
Ματθ. Ε, ς. Δεῦτε πρός με, πάντες οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, κἀγὼ ἐμ-
α Κορ. Β, θ. πλήσω ὑμᾶς ἀγαθῶν, ἃ ἐποθήσατε, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε,
καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ταῦτα γὰρ ἡτοίμασα τοῖς μετανοοῦσιν ἐκ M.
τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς. Ταῦτα ἡτοίμασα τοῖς ἐλεοῦσι, καὶ τοῖς πτωχοῖς τῷ
πνεύματι. Ταῦτα ἡτοίμασα τοῖς πενθοῦσιν ἐν μετανοίᾳ. Ταῦτα ἡτοίμασα τοῖς

ἀρεστοποιεῖς. Ταῦτα ἡτοίμασα τοῖς δι' ἐμὲ διωκομένοις, καὶ συκοφαντουμένοις, καὶ ὀνειδιζομένοις. Δεῦτε πρός με πάντες, οἱ πεφορτισμένοι, καὶ ἀποτινάξατε, καὶ ἀπορρίψατε ἀφ' ὑμῶν τὸ φορτίον τῶν ἁμαρτιῶν. Οὐδεὶς γὰρ πρός με καταφυγὼν, ἔμεινε πεφορτισμένος, ἀλλὰ ἀπέρριψε τὴν κακίαν συνήθειαν, καὶ ἀπέμαθεν
E. ἣν κακῶς ἔμαθε παρὰ τοῦ Διαβόλου τέχνην, μανθάνων δὲ παρ' ἐμοῦ τέχνην ἀγαθήν. Οἱ μάγοι προσελθόντες μοι, ἀπέρριψαν τὴν μαγείαν, καὶ ἔμαθον θεογνωσίαν. Οἱ τελῶναι κατέλιπον τὰ τελώνια, καὶ συνεστήσαντο τὰς ἐκκλησίας. Οἱ διῶκται ἐπαύσαντο τοῦ διώκειν, καὶ κατεδέξαντο τοῦ διώκεσθαι. Αἱ πόρναι ἐμίσησαν τὴν πορνείαν, καὶ ἠγάπησαν τὴν σωφροσύνην. Ὁ λῃστὴς ἀπέθετο τοὺς φό- Ματθ. Β, α. Λυκ. Ε, κζ, κη. Πράξ. Η, γ. Θ, α. Λυκ. Κγ, μγ.
I. νους, ἀπομαθὼν τὴν λῃστρικὴν τέχνην, καὶ ἀνέλαβε τὴν εἰλικρινῆ πίστιν, καὶ γέγονε τοῦ παραδείσου οἰκήτωρ. Δεῦτε οὖν καὶ ὑμεῖς πρός με, ὅτι τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλλω ἔξω. Ἠκούσατε, ἀγαπητοὶ, τὰς χρηστὰς ἐπαγγελίας, καὶ τὰς γλυκείας φωνὰς τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν. Τίς εἶδε τοιοῦτον φιλόστοργον Πατέρα; Τίς εἶδε τοιοῦτον χρηστὸν Ἰατρόν; Δεῦτε οὖν, προσκυνήσω- Ἰωάν. ς, λς. Ψαλμ. ϟε, ς.
IE. μεν, καὶ προσπέσωμεν αὐτῷ, ἐξομολογούμενοι τὰς ἁμαρτίας ἡμῶν. Δόξα τῇ αὐτοῦ φιλανθρωπίᾳ. δόξα τῇ αὐτοῦ μακροθυμίᾳ. δόξα τῇ αὐτοῦ ἀγαθότητι, καὶ τῇ αὐτοῦ συγκαταβάσει. δόξα τοῖς αὐτοῦ οἰκτιρμοῖς. δόξα τῇ αὐτοῦ βασιλείᾳ. δόξα, τιμὴ, καὶ προσκύνησις τῷ ὀνόματι αὐτοῦ εἰς τοὺς αἰῶνας. ἀμήν. Πάλιν λέγω, καὶ λέγων οὐ παύσομαι· μὴ ῥᾳθυμήσωμεν, οἱ ἁμαρτωλοὶ, μὴ δειλιάσω-
K. μεν· μὴ παυσώμεθα βοῶντες νυκτὸς καὶ ἡμέρας μετὰ δακρύων. Ἐλεήμων γάρ ἐστι καὶ ἀψευδὴς, καὶ ποιήσει πάντως τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας. Αὐτὸς γάρ ἐστιν ὁ τῶν μετανοούντων Θεός. ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Εὐχ. Μανασ. ιϛ.

KE.

* ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ, ΚΑΙ ΠΕΡΙ ΣΥΝΤΕΛΕΙΑΣ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΑΝΤΙΧΡΙΣΤΟΥ.

ἄλλ. Λόγος περὶ τοῦ Ἀντιχρίστου, καὶ περὶ τῆς συντελείας τοῦ κόσμου.

ΠΩΣ ἐγὼ ὁ ἐλάχιστος καὶ ἁμαρτωλὸς Ἐφραὶμ, καὶ μεστὸς πλημμελημάτων, δυνήσομαι ἐξειπεῖν τὰ ὑπὲρ τὴν ἐμὴν δύναμιν. Ἀλλ' ἐπεὶ ὁ Σωτὴρ ἰδίᾳ εὐσπλαγχνίᾳ τοὺς ἀγραμμάτους σοφίαν ἐδίδαξε, καὶ δι' αὐτῶν τοὺς
Λ. πανταχῇ πιστοὺς κατεφώτισε, καὶ ἡμῶν ἀφθόνως τὴν γλῶτταν τρανώσει πρὸς ὠφέλειαν καὶ οἰκοδομὴν, καὶ ἐμοὶ τῷ λέγοντι, καὶ πᾶσιν ἀκροαταῖς. Λαλήσω δὲ ἐν ὀδύναις, καὶ εἴπω ἐν στεναγμοῖς, περὶ τοῦ ἐνεστῶτος κόσμου τῆς συντελείας, καὶ περὶ τοῦ ἀναιδεστάτου καὶ δεινοῦ Δράκοντος, τοῦ μέλλοντος ταράσσειν πᾶσαν τὴν ὑπ' οὐρανὸν, καὶ ἐμβαλεῖν δειλίαν, καὶ ὀλιγωρίαν, καὶ δεινὴν ἀπιστίαν ἐν καρ-
ΛE. δίαις ἀνθρώπων, καὶ ποιεῖν τέρατα καὶ σημεῖα καὶ φόβητρα, ὥστε, εἰ δυνατὸν ᾖ, πλανῆσαι καὶ τοὺς ἐκλεκτοὺς, καὶ πάντας ἀπατῆσαι ἐν ψευδέσι σημείοις, καὶ τεράτων φαντασμοῖς, ὑπ' αὐτοῦ γινομένοις. Κατὰ συγχώρησιν γὰρ Θεοῦ τοῦ ἁγίου, λαμβάνει ἐξουσίαν τοῦ ἀπατῆσαι τὸν κόσμον, διότι ἐπληθύνθη ἡ ἀσέβεια τοῦ κόσμου, καὶ πανταχοῦ παντοῖα δεινὰ κατεργάζεται. Καὶ διὰ τοῦτο ὁ ἄχραντος Δεσπότης Ματθ. Κδ, κδ.
M. πνεύματι πλάνης ἐάσει πειρασθῆναι τὸν κόσμον διὰ τὴν ἀσέβειαν αὐτῶν συγχώρησιν, ἐπειδὴ οὕτως ἤθελον οἱ ἄνθρωποι τοῦ ἀποστῆναι Θεοῦ, καὶ φιλεῖν τὸν Πονηρόν. Μέγας ἀγὼν, ἀδελφοὶ, ἐν τοῖς καιροῖς ἐκείνοις, μάλιστα τοῖς πιστοῖς· ὅταν β Θεσ. Β, ια.

:

ἐπιτελῶν) σημεῖα καὶ τέρατα ὑπ' αὐτοῦ τοῦ Δράκοντος ἐν πολλῇ ἐξουσίᾳ. ὅταν
β Θεσ. Β, δ. πάλιν δεικνύῃ ἑαυτὸν, ὥσπερ Θεὸν, ἐν φαντάσμασι φοβεροῖς, ἐν τῷ ἀέρι
ἱπτάμενον, καὶ πάντας τοὺς δαίμονας ἐν τῷ ἀέρι ἐπηρμένους, ὥσπερ ἀγγέλους,
ἔμπροσθεν τοῦ τυράννου. Βοᾷ γὰρ ἐν ἰσχύϊ, ἀλλάσσων τὰς μορφὰς, ἐκφοβῶν
ἀμέτρως ἅπαντας τοὺς ἀνθρώπους. Τότε, ἀδελφοὶ, τίς ἄρα εὑρεθῇ τετειχι- E.
σμένος, καὶ μένων ἀσάλευτος, ἔχων τὸ τεκμήριον ἐν τῇ ψυχῇ, τοῦ μονογενοῦς
Υἱοῦ τοῦ Θεοῦ ἡμῶν τὴν ἁγίαν παρουσίαν· ὅταν ἴδῃ ἐκείνην τὴν θλῖψιν τὴν ἀμύ-
θητον, γενομένην πανταχοῦ ἐπὶ πᾶσαν ψυχὴν, μὴ ἔχουσαν τελείως πόθεν παρα-
μυθίαν, οὔτε πάλιν ἄνεσιν, ἐν γῇ καὶ θαλάσσῃ; Ὅταν ἴδῃ τὸν σύμπαντα
κόσμον ταρασσόμενον, καὶ φεύγῃ ἕκαστος ἐν ὄρεσι κρυβῆναι, τοὺς μὲν λιμῷ θνή- I.
σκοντας, τοὺς δὲ ἐν θλίψει δεινῇ τηκομένους ὡσεὶ κηρὸν, καὶ οὐκ ἔστιν ὁ ἐλεῶν.
Ὅταν ἴδῃ ἅπαντα τὰ πρόσωπα δακρύοντα, καὶ πόθῳ ἐρωτῶντας, μήποτε ῥῆμα
Θεοῦ ἐπὶ τῆς γῆς; καὶ ἀκούῃ, οὐδαμοῦ. Τίς ἄρα βαστάσει τὰς ἡμέρας ἐκείνας;
Τίς δὲ ὑπομένῃ τὴν θλῖψιν τὴν ἀφόρητον; ὅταν ἴδῃ σύγχυσιν τῶν λαῶν ἐρχο-
μένων ἀπὸ περάτων τῆς γῆς εἰς θέαν τοῦ τυράννου, καὶ πολλοὺς προσκυνοῦντας ἔμ- IE.
προσθεν τοῦ τυράννου, κράζοντας μετὰ τρόμου· ὅτι σὺ εἶ ὁ σωτὴρ ἡμῶν. Θά-
λασσα ταράσσεται, καὶ ἡ γῆ ξηραίνεται, οὐρανοὶ οὐ βρέχουσι, τὰ φυτὰ μαραί-
νονται· ἅπαντες δὲ οἱ ὄντες ἐπὶ γῆς ἀνατολῶν, ἐπὶ δυσμὰς φεύγουσι ἐκ τῆς
πολλῆς δειλίας· καὶ πάλιν δὲ, οἱ ὄντες ἐπὶ δυσμῶν ἡλίου, ἐπὶ τὴν ἀνατολὴν
φεύγουσι μετὰ τρόμου. Λαβὼν δὲ ὁ ἀναιδὴς τότε τὴν ἐξουσίαν, δαίμονας ἀπο- K.
στελεῖ εἰς πάντα τὰ πέρατα, ὥστε κηρύξαι παῤῥησίᾳ, ὅτι βασιλεὺς μέγας ἐφάνη
μετὰ δόξης. δεῦτε καὶ θεάσασθε αὐτόν. Τίς ἄρα ἔχων οὕτως ψυχὴν ἀδαμαν-
τίνην, ὥστε φέρειν γενναίως ἅπαντα τὰ σκάνδαλα; Τίς ἄρα ἐστὶν οὗτος, ὡς
προεῖπον, ἄνθρωπος, ἵνα πάντες ἄγγελοι μακαρίσωσιν αὐτόν; Ἐγὼ γὰρ,
ἀδελφοὶ φιλόχριστοι καὶ τέλειοι, ἐπτοήθην ἐξ αὐτῆς τῆς μνήμης τοῦ Δράκοντος, KE.
μελετῶν εἰς ἑαυτὸν τὴν θλῖψιν τὴν μέλλουσαν ἔσεσθαι τοῖς ἀνθρώποις ἐν τοῖς
καιροῖς ἐκείνοις· καὶ ποταπὸς δὲ οὗτος ὁ Δράκων εὑρίσκεται μιαρὸς, ἀπότο-
μος τῷ γένει τῶν ἀνθρώπων, πλεῖον δὲ ἁγίοις πικρότερος γίνεται, τοῖς δυναμένοις
νικᾷν τὰ αὐτοῦ φαντάσματα. Εἰσὶ γὰρ πολλοὶ, εὑρισκόμενοί ποτε, εὐάρεστοι
τῷ Θεῷ, δυνάμενοι σωθῆναι, ἐν ὄρεσι, καὶ βουνοῖς, καὶ ἐν ἐρήμοις τόποις, ἐν Λ.
πολλαῖς δεήσεσι καὶ κλαυθμοῖς ἀφορήτοις. Ὁ γὰρ ἅγιος Θεὸς, θεωρῶν αὐτοὺς
οὕτως ἐν κλαυθμῷ ἀμυθήτῳ, καὶ πίστει εἰλικρινεῖ, σπλαγχνίζεται ἐπ' αὐτοὺς,
ὡς πατὴρ φιλόστοργος, καὶ διατηρεῖ αὐτοὺς, ἔνθα ἀπεκρύβησαν. Καὶ γὰρ ὁ παμ-
μίαρος οὐ παύεται ἐκζητῶν τοὺς ἁγίους ἐν τε γῇ καὶ θαλάσσῃ, λογιζόμενος
ὅτι ἐβασίλευσε τὸ λοιπὸν ἐπὶ τῆς γῆς, καὶ πάντας ὑποτάσσει. Καὶ νομίζει ὁ ΛE.
ἴσως, ἀντιστῆναι. ἄθλιος * ἀντισταθῆναι τῇ ὥρᾳ ἐκείνῃ τῇ φοβερᾷ, ὅταν ἔλθῃ ὁ Κύριος ἐκ τῶν
οὐρανῶν, μὴ εἰδὼς ὁ ἄθλιος τὴν ἑαυτοῦ ἀσθένειαν καὶ ὑπερηφανίαν, δι' ἣν καὶ
ἐξέπεσεν. Ὅμως ταράσσει τὴν γῆν, ἐκφοβεῖ τὰ σύμπαντα ἐν ψευδέσι σημείοις
μαγικοῖς. Οὐκ ἔστιν ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν ἔλθῃ ὁ Δράκων, ἄνεσις ἐπὶ τῆς
γῆς· ἀλλὰ θλῖψις μεγάλη, ταραχὴ, καὶ σύγχυσις, θάνατοι, καὶ λιμοὶ εἰς πάν- M.
Ματθ. Κδ, κα. τα τὰ πέρατα. αὐτὸς γὰρ ὁ Κύριος ἡμῶν θείῳ στόματι ἔφη, ὅτι τοιαῦτα οὐ
Μάρκ. Ιγ, ιθ. γέγονεν ἀπ' ἀρχῆς κτίσεως. Ἡμεῖς δὲ οἱ ἁμαρτωλοὶ, πῶς εὑρήσομεν αὐτῆς τὸ

ὑπέρμετρον, ἀλλὰ καὶ ἀνέκφραστον, οὕτως τοῦ Θεοῦ αὐτὴν ὀνομάσαντος. Ἐπειδὴ
δὲ ἕκαστος τῶν νοεῖν αὐτοῦ ἀκριβῶς ἐν λέξεσιν ἁγίαις τοῦ Κυρίου καὶ Σωτῆρος
πῶς, διὰ τὴν ἀνάγκην, καὶ θλῖψιν τὴν ἐπερχομένην, κολοβοῖ τὰς ἡμέρας τῆς
θλίψεως, τῇ αὐτοῦ εὐσπλαγχνίᾳ παρεχομένων ἡμῖν, καὶ λέγων· Προσεύχεσθε, ἵνα Ματθ. κδ, κ.
E. μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ σαββάτῳ. Καὶ πάλιν· ἀγρυπνεῖτε Λυκ. κα, λϛ.
πάντοτε, δεόμενοι συνεχῶς, ἵνα γένησθε ἄξιοι ἐκφυγεῖν τῆς θλίψεως, καὶ σταθῆναι
ἔμπροσθεν τοῦ Θεοῦ· ὁ γὰρ καιρὸς ἐγγύς. Καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ ὑπάρχομεν
πάντες, καὶ οὐ πιστεύομεν. Δεηθῶμεν συνεχῶς ἐν δάκρυσι καὶ προσευχαῖς
νυκτὸς καὶ ἡμέρας, προσπίπτοντες τῷ Θεῷ, ἵνα σωθῶμεν οἱ ἁμαρτωλοί. Εἴ τις
I. ἔχει δάκρυα καὶ κατάνυξιν, δεηθήτω τοῦ Κυρίου, ἵνα ῥυσθῶμεν ἐκ θλίψεως τῆς
μελλούσης ἔρχεσθαι ἐπὶ τῆς γῆς· ἵνα μήτε ἴδῃ παντελῶς μήτε αὐτὸ τὸ θηρίον,
μηδὲ πάλιν ἀκούσῃ τὰ φοβερὰ αὐτοῦ. Ἔσονται γὰρ κατὰ τόπους λιμοί, σεισμοί, καὶ
θάνατοι διάφοροι ἐπὶ τῆς γῆς. Γενναίας ἔσται ψυχῆς, διαμεμενηκυίας συγκρατῆσαι
τῆς ἑαυτοῦ ζωὴν ἀναμέσον τῶν σκανδάλων. Ἐὰν γὰρ μικρὸν ὀλιγωρῶν εὑρεθῇ ἄν-
IE. θρωπος, εὐχερῶς πολιορκεῖται, καὶ γίνεται αἰχμάλωτος ἐν σημείοις τοῦ Δράκοντος,
καὶ πονηροῦ, καὶ δολίου. Καὶ ἀσύγγνωστος ὁ τοιοῦτος εὑρίσκεται ἐν τῇ κρίσει, αὐτοψεὶ
γὰρ εὑρίσκεται, ὅτι ἐπίστευσε τῷ τυράννῳ ἑκουσίως. Πολλῶν εὐχῶν καὶ δακρύων
χρήζομεν, ὦ ἀγαπητοί, ἵνα τις ἡμῶν εὑρεθῇ ἑδραῖος ἐν τοῖς πειρασμοῖς. Πολ-
λὰ γάρ εἰσι τὰ φαντάσματα τοῦ θηρίου τὰ γινόμενα· θεομάχος γὰρ ὑπάρχων,
K. πάντας θέλει ἀπολέσθαι. Τοιοῦτον γὰρ τρόπον σκευάζει ὁ τύραννος, ἵνα πάντες τὴν
σφραγῖδα τοῦ θηρίου βαστάζωσιν, ὅταν ἔλθῃ ἀπαιτῆσαι τὰ σύμπαντα, ἐν τῷ
καιρῷ τῷ ἰδίῳ ἐν σημείοις, εἰς τὸ πλήρωμα τῶν καιρῶν, καὶ εἶθ' οὕτως ἀγοράσουσι
τὰ βρώματα καὶ πᾶν εἶδος, καὶ δημάρχους ἱστᾶν, ἐπιτελεῖν τὸ πρόσταγμα. Προσ-
έχετε, ἀδελφοί μου, τὴν μεθοδείαν τοῦ θηρίου· τεχνάσματα γὰρ πονηρίας· πῶς
KE. ἐκ γαστρὸς ἄρχεται, ἵν' ὅταν τις στενωθῇ, βρωμάτων ὑστερούμενος, ἀναγκασθῇ
λαβεῖν ἐκείνου τὴν σφραγῖδα, οὐχ ὡς ἔτυχεν, εἰς πᾶν μέλος τοῦ σώματος, ἀλλ'
ἐπὶ χεῖρα δεξιάν, ὁμοίως καὶ ἐπὶ τοῦ μετώπου, τῶν δυνατῶν χαρακτῆρα, ἵνα
ἐξουσίαν μὴ ἔχῃ ὁ ἄνθρωπος σφραγίσασθαι τῇ δεξιᾷ χειρὶ τὸ σημεῖον τοῦ σταυροῦ,
μήτε πάλιν ἐν μετώπῳ σημειώσασθαι παντελῶς τὸ ἅγιον ὄνομα τοῦ Κυρίου, μήτε
Λ. τὸν ἔνδοξον καὶ τίμιον σταυρὸν τοῦ Χριστοῦ καὶ σωτῆρος ἡμῶν. Γινώσκει γὰρ ὁ ἄθλιος,
ὅτι ὁ σταυρὸς τοῦ Κυρίου, ἐὰν σφραγισθῇ, λύει αὐτοῦ πᾶσαν τὴν δύναμιν, καὶ διὰ
τοῦτο σφραγίζει τὴν δεξιὰν τοῦ ἀνθρώπου· αὕτη γὰρ ἡ σφραγίζουσα πάντα τὰ
μέλη ἡμῶν. Ὁμοίως δὲ καὶ τὸ μέτωπον, ὥσπερ λυχνία, βαστάζει λύχνον φω-
τός, τὸ σημεῖον τοῦ Σωτῆρος ἡμῶν ἐν τῷ ὕψει. Λοιπὸν οὖν, ἀδελφοί μου,
ΛE. φρικτὸς ἀγὼν ἅπασι τοῖς φιλοχρίστοις ἀνθρώποις, ἵνα μέχρι τελευτῆς [illegible]
τε μὴ δειλιάσωσι, μηδὲ στῶσιν ἐν χαυνότητι, ὅταν χαράξῃ ὁ Δράκων τὴν
ἑαυτοῦ σφραγῖδα ἀντὶ τοῦ σταυροῦ τοῦ Σωτῆρος. Τοιοῦτον γὰρ τρόπον [illegible] ποιεῖ, ἵνα ἴσως, ποιεῖ.
παντελῶς τὸ ὄνομα τοῦ Κυρίου καὶ Σωτῆρος μηδὲ ὅλως ὀνομασθῇ ἐν τῷ καιρῷ
τούτῳ. Τοῦτο δὲ ποιεῖ φοβούμενος καὶ τρέμων τὴν ἁγίαν δύναμιν τοῦ Σωτῆρος
M. ἡμῶν ὁ [illegible]. Ἐὰν μὴ γάρ τις σφραγίζηται τὴν ἐκείνου σφραγῖδα, οὐ γίνεται
αἰχμάλωτος ἐκ τῶν ἐκείνου φαντασμάτων· ἀλλὰ πάλιν ὁ Κύριος ἀφίσταται ἐκ
τῶν τοιούτων, ἀλλὰ φωτίζει, καὶ ἕλκει πρὸς ἑαυτόν. Νοεῖν ἡμᾶς δεῖ, ἀδελφοί,

μετὰ πάσης ἀκριβείας, τὰ τοῦ ἐχθροῦ φαντάσματα ἄσοφα ὑπάρχοντα. Ὁ δὲ Κύ-
ἀλλ. τοῦ ἐχθροῦ. ριος ἡμῶν ἐν γαλήνῃ περιέρχεται πάσαν ἡμῶν ἀποκρίνασθαι δι' ἡμᾶς, * τοῦ ἐχ-
θροῦ τὰ τεχνάσματα. Τὴν ἀκλινῆ πίστιν τοῦ Χριστοῦ ἀλλήλοις βαστάζοντες, ἀν-
ένδοτον ποιήσωμεν τὴν δύναμιν τοῦ τυράννου. λογισμῶν ἀμετάθετον κτησώμεθα
τὴν εὐσέβειαν, καὶ ἀφίσταται ἡμῶν ὁ ἀσθενὴς, μὴ ἔχων τὸ τί ποιήσῃ. Ἐγὼ ὁ ἐλά- I.
χιστος, ἀδελφοὶ, παρακαλῶ ὑμᾶς, φιλόχριστοι, μὴ γινώμεθα χαῦνοι, ἀλλὰ
μᾶλλον δυνατοὶ τῇ δυνάμει τοῦ σταυροῦ. ἀπαραιτήτως ἀρτίως ἐπὶ θύραις ἐστί.
Ἐφεσ. 5, 16. Τὸν θυρεὸν τῆς πίστεως ἀναλάβωμεν πάντες. ἕτοιμοι οὖν γίνεσθε, ὥσπερ οἰκέται
πιστοὶ, ἄλλον μὴ δεχόμενοι. ἔρχεται γὰρ ὁ κλέπτης, καὶ ἀλάστωρ, καὶ ἀπηνὴς,
πρῶτος μέλλει ἔρχεσθαι ἐν τοῖς ἰδίοις καιροῖς, βουλόμενος κλέψαι καὶ θῦσαι I.
καὶ ἀπολέσαι τὴν ποίμνην τὴν ἐκλεκτὴν τοῦ ἀληθινοῦ Ποιμένος Χριστοῦ,
ἀναλαμβάνει γὰρ σχῆμα τοῦ ἀληθινοῦ Ποιμένος. Διδαχθῶμεν, ὦ φίλοι, ὁ-
ποίῳ σχήματι ἔρχεται ἐπὶ τῆς γῆς ὁ ἀναίσχυντος Ὄφις. Ἐπειδὴ ὁ Σωτὴρ, σῶσαι
βουλόμενος τὸ γένος τῶν ἀνθρώπων, ἐκ παρθένου ἐτέχθη, καὶ σχήματι ἀνθρώπου
ἐπάτησε τὸν Ἐχθρὸν ἐν ἁγίᾳ δυνάμει τῆς αὐτοῦ Θεότητος. Ἐλογίσατο οὖν IE.
ἀναλαβεῖν τὸ σχῆμα τῆς αὐτοῦ παρουσίας, καὶ ἀπατῆσαι ἡμᾶς. Ὁ δὲ Κύριος ἡμῶν
Ματθ. κδ, κζ. ἐν νεφέλαις φωτειναῖς, ὡς ἀστραπὴ φοβερὰ, ἐλεύσεται ἐπὶ τῆς γῆς. Οὐχ οὕτως
Κη, γ. δὲ ὁ Ἐχθρὸς ἐλεύσεται· ἀποστάτης γάρ ἐστι. τίκτεται δὲ ἀκριβῶς ἐκ κόρης μια-
ρᾶς τὸ ἐκείνου ὄργανον. οὐχ οὕτως δὲ σαρκοῦται. Ἐν σχήματι δὲ τοιούτῳ ἥξει ὁ
παμμίαρος, ὡς κλέπτης, ἀπατῆσαι τὰ σύμπαντα. Ταπεινὸς, ἥσυχος, μισῶν, K.
φησὶν, ἀδικίαν, ἀποστρεφόμενος εἴδωλα, προτιμώμενος εὐσέβειαν, ἀγαθὸς,
φιλόπτωχος, εὐειδὴς ὑπερβολῇ, εὐκατάστατος, ἱλαρὸς πρὸς πάντας, τιμῶν
μεθ' ὑπερβολῆς τὸ γένος τῶν Ἰουδαίων· αὐτοὶ γὰρ προσδοκῶσι τὴν ἐκείνου ἔλευ-
σιν. Μεταξὺ δὲ πάντων τούτων σημεῖα ἐπιτελεῖ, τέρατα, καὶ φόβητρα ἐν πολλῇ
ἐξουσίᾳ. ἀρέσαι δὲ πᾶσι τεχνάζεται δολίως, ὅπως ἀγαπηθῇ ἐν τάχει ὑπὸ KI.
πολλῶν. δῶρα δὲ οὐ λήψεται, μετ' ὀργῆς οὐ λαλήσει, κατηφὴς οὐ δείκνυται·
σχήματι δὲ εὐταξίας ἐξαπατᾷ τὸν κόσμον, ἕως οὗ βασιλεύσῃ. Ὅταν οὖν ἴδωσι
λαοὶ πολλοὶ καὶ δῆμοι τοιαύτας ἀρετὰς καὶ δυνάμεις, πάντες ἐπὶ τὸ αὐτὸ μιᾷ
γνώμῃ γίνονται, καὶ ἐν χαρᾷ μεγάλῃ βασιλέα αὐτὸν κηρύξουσι, λέγοντες
πρὸς ἀλλήλους· μὴ ἄρα εὑρίσκεται τηλικοῦτος ἄνθρωπος ἀγαθὸς καὶ δί- Λ.
καιος; Ἀνορθοῦται δὲ εὐθέως ἡ ἐκείνου βασιλεία, καὶ πατάξει ἐν θυμῷ τρεῖς
βασιλεῖς μεγάλους. Ἔπειτα ὑψοῦται τῇ καρδίᾳ, καὶ ἐμέσει ὁ Δράκων τὴν ἑαυτοῦ
πικρίαν. ταράσσων τὴν οἰκουμένην, καὶ κινῶν τὰ πέρατα, ἐκθλίβει τὰ σύμ-
παντα, μιαίνει τὰς ψυχάς. οὐκ ἔτι ὡς εὐλαβὴς, ἀλλὰ πάντα ἐν πᾶσιν αὐστηρὸς,
ἀπότομος, ὀργίλος, θυμώδης, δεινὸς, ἀκατάστατος, φοβερὸς, ἀειδὴς, μισητὸς, ΛΕ.
βδελυκτὸς, ἀνήμερος, ἀλάστωρ, ἀναιδὴς, καὶ σπουδάζων ἐμβαλεῖν εἰς βάθρον
ἀσεβείας πᾶν τὸ γένος τῶν ἀνθρώπων. Πληθύνει σημεῖα ψευδῆ, καὶ οὐκ ἀλη-
θείας, ἐν τῷ πλάνῳ. Παρεστώτων καὶ ἄλλων πολλῶν δήμων, καὶ εὐφημούντων αὐ-
τὸν, διὰ τὰς φαντασίας, βάλλει φωνὴν ἰσχυρὰν, ὥστε σαλευθῆναι τὸν τόπον
ἐν ᾧ οἱ ὄχλοι αὐτοῦ περιεστήκασι. Γνῶτε πάντες οἱ λαοὶ, τὴν ἐμὴν δύναμιν Μ.
καὶ ἐξουσίαν. Μεθιστᾷ ὄρη ἐν ὀφθαλμοῖς τῶν θεωρούντων, καὶ νήσους αἴρει ἐκ τῆς
θαλάσσης. πλάνη δὲ καὶ φαντασία ταῦτα, καὶ οὐκ ἀληθείᾳ· ἀλλὰ πλανῷ-

*

κόσμον, καὶ φαντάζει τὰ σύμπαντα. πολλοὶ πιστεύσουσι καὶ δοξάσουσιν αὐτὸν, ὡς
Θεὸν ἰσχυρόν. Τότε θρηνεῖ δεινῶς πᾶσα ψυχὴ καὶ στενάζει. Τότε πάντες βλέ-
ποντες θλῖψιν ἀπαραμύθητον, τὴν περιέχουσαν αὐτοὺς νυκτὸς καὶ ἡμέρας, καὶ οὐ-
δαμοῦ εὑρίσκουσιν ἐμπλησθῆναι τῶν βρωμάτων. Δυνάστης γὰρ δεινὸς ἔσται τό-
Η. πον στηθήσονται· καὶ εἴ τις φέρει μετ' ἑαυτοῦ τὴν σφραγῖδα τοῦ τυράννου ἐν με-
τώπῳ ἢ δεξιᾷ, ἀγοράζει βραχὺ βρῶμα ἐκ τῆς εὑρισκομένης. Τότε ἐκλείπει
τὰ νήπια ἐν τοῖς κόλποις τῶν μητέρων· θνήσκει πάλιν μήτηρ ἐπάνω τοῦ τέκνου·
θνήσκει πάλιν πατὴρ σὺν γυναικὶ καὶ τέκνοις ἐν ταῖς ἀγοραῖς, καὶ οὐκ ἔστιν ὁ θάπτων,
καὶ συστέλλων ἐν μνήμασιν. Ἐκ τῶν πολλῶν θνησιμαίων τῶν ῥιπτομένων ἐν ταῖς πλα-
Ι. τείαις, δυσωδία πανταχόθεν, ἐκθλίβουσα τοὺς ζῶντας ὑπάρχει. Πρωῒ πάντες
ἐροῦσι μετ' ὀδύνης καὶ στεναγμῶν· πότε ἑσπέρα ἥξει, ἵνα ἀνάπαυσιν σχῶμεν;
Καταλαβούσης δὲ πάλιν τῆς ἑσπέρας, ἐν δάκρυσι πικροῖς τοὺς πολλοὺς λέγουσι·
πότε ἄρα διαφαύσει, ἵνα τὴν ἐπικειμένην θλῖψιν ἐκφύγωμεν; καὶ οὐκ ἔστι ποῦ
φυγεῖν ἢ κρυβῆναι. Τετάρακται γὰρ τὰ σύμπαντα, ἡ θάλασσα καὶ ἡ ξηρά. Διὰ
ΙΕ. τοῦτο ἔφη ἡμῖν ὁ Κύριος· γρηγορεῖτε, δεόμενοι ἀδιαλείπτως ἐκφυγεῖν ἐκ τῆς θλί- Ματθ. Κδ'. Μάρκ. Ιγ. Λουκ. Κα.
ψεως. Δυσωδία ἐν θαλάσσῃ, δυσωδία ἐπὶ τῆς γῆς, λιμοὶ, σεισμοὶ, ἐν θαλάσσῃ
σύγχυσις, ἐπὶ τῆς γῆς σύγχυσις, ἐν θαλάσσῃ φόβητρα, φόβητρα ἐπὶ τῆς γῆς. Χρυ-
σὸς πολὺς καὶ ἄργυρος, καὶ σηρικὰ ἱμάτια οὐδὲν ὠφελήσουσί τινα ἐν τῇ θλίψει
ἐκείνῃ. ἀλλὰ πάντες οἱ ἄνθρωποι τοὺς νεκροὺς μακαρίζουσι τοὺς ταφέντας, πρὸ
Κ. τοῦ ἐλθεῖν τὴν θλῖψιν τὴν μεγάλην ἐπὶ τῆς γῆς. Ῥίπτεται γὰρ καὶ ὁ χρυσὸς καὶ ὁ ἄρ-
γυρος ἐν πλατείαις, καὶ οὐκ ἔστιν ὁ ἁπτόμενος· ὅτι πάντα ἐβδέλυκται. Ἀλλὰ
πάντες τὸ ἐκφυγεῖν καὶ κρυβῆναι σπουδάζουσι· καὶ οὐδαμοῦ δύνανται κρυβῆναι
ἐκ θλίψεως. Ἀλλ' ἔτι μετὰ τοῦ λιμοῦ, καὶ τῆς θλίψεως, καὶ τοῦ φόβου, θηρία καὶ
ἑρπετὰ συναρπάζειν δύνανται. διόπερ ἔσωθεν φόβος, καὶ ἔξωθεν τρόμος.
ΚΕ. Καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, ἐν πλατείαις θνησιμαῖα. Ἐν πλατείαις δυσωδία, ἐν
οἰκίαις δυσωδία· ἐν πλατείαις πεῖνα καὶ δίψα, ἐν οἰκίαις πεῖνα καὶ δίψα. Ἐν
πλατείαις φωνὴ κλαυθμοῦ, ἐν οἰκίαις θόρυβος. Εἷς
ἕκαστος τῷ ἑτέρῳ μετὰ κλαυθμοῦ συναντῶσι· πατὴρ τέκνῳ, καὶ υἱὸς πατρί· μή-
τηρ τῇ θυγατρί· φίλοι φίλους ἐν πλατείαις περιπλακέντες, ἐναπέθνησκον· ισ. ἐκλείπουσι.
Λ. καὶ ἀδελφοὶ ἀδελφοῖς περιπλακέντες τελευτῶσι. Μεμάρανται καὶ τὸ κάλλος
τῆς ὄψεως πάσης σαρκός. Γίνονται δὲ αἱ ἰδέαι αὐτῶν, ὡς νεκρῶν. Ἐβδέλυκται
καὶ μεμάρανται καὶ τὸ κάλλος τῶν γυναικῶν. Μαρανθήσεται πάσης σαρκὸς καὶ ἡ
ἐπιθυμία τῶν ἀνθρώπων. Ἅπαντες δὲ οἱ πεισθέντες τῷ δεινῷ θηρίῳ, καὶ λαβόντες
τὴν ἐκείνου σφραγῖδα, τὸ δυσειδὲς χάραγμα τοῦ μιαροῦ, προσερχόμενοι ἀθρόως,
ΛΕ. καὶ λέγουσι μετ' ὀδύνης· δὸς ἡμῖν φαγεῖν καὶ πιεῖν, ὅτι πάντες ἐκλείπομεν ὑπὸ
τοῦ λιμοῦ σφιγγόμενοι, καὶ ἀπέλασον ἀφ' ἡμῶν τὰ ἰοβόλα θηρία. Καὶ ὁ δυσκά-
ρων ὁ ἄθλιος ἀποκρίνεται ἐν πολλῇ ἀποτομίᾳ, λέγων· πόθεν ἐγὼ δώσω ὑμῖν
φαγεῖν καὶ πιεῖν, ὦ ἄνθρωποι; ὁ οὐρανὸς οὐ βούλεται βρέξαι ἐπὶ τὴν γῆν ὑετόν·
ἡ δὲ γῆ πάλιν οὐ δίδωσιν ὅλως γένος ἢ γεννήματα. Ἀκούσαντες δὲ ταῦτα οἱ λαοὶ, πεν-
Μ. θοῦσι καὶ κλαίουσι, μὴ ἔχοντες παραμυθίαν τὸ σύνολον. Ἀλλὰ θλῖψις
ἐπὶ τῇ θλίψει ἔσονται αὐτοῖς ἀνεκδιήγητος, ὅτι οὕτως ἀθεμίτως τῷ τυράννῳ ἐπί-
στευσαν. Ἐκεῖνος γὰρ ὁ ἄθλιος οὐκ ἔχει οὐδὲ αὐτῷ βοηθῆσαι, καὶ πῶς ἑαυτῷ

ἐλεῆσαι; Ἐν ἐκείναις ταῖς ἡμέραις ἔσται ἀνάγκη μεγάλη ἐκ θλίψεως πολλῆς
τοῦ Δράκοντος, καὶ τοῦ φόβου, καὶ τοῦ σεισμοῦ, καὶ τῆς θαλάσσης τοῦ ἤχου, καὶ τοῦ λιμοῦ, καὶ
τῆς δίψης, καὶ τῶν δηγμάτων τῶν θηρίων. Πάντες δὲ οἱ λαβόντες τὴν σφραγῖδα
τοῦ Ἀντιχρίστου, καὶ προσκυνήσαντες αὐτῷ, ὡς Θεῷ τῷ ἀγαθῷ, οὐκ ἔχουσί τινα
μερίδα ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ· ἀλλὰ μετὰ τοῦ Δράκοντος βληθήσονται ἐν Ε.
τῇ γεέννῃ. Μακάριος ὁ εὑρεθεὶς πανάγιος καὶ πάμπιστος, ὁ ἔχων αὐτοῦ τὴν καρ-
δίαν πρὸς τὸν Θεὸν ἀδιστάκτως· ἀφόβως γὰρ ἐκκρούεται τὰς πεύσεις αὐτοῦ
πάσας, καταφρονῶν καὶ βασάνων καὶ τῶν φαντασιῶν αὐτοῦ. Πρὶν δὲ ταῦτα
Ἀπόκ. Ια, γ, δ. γενέσθαι, ἀποστέλλει ὁ Κύριος Ἠλίαν τὸν Θεσβίτην καὶ τὸν Ἐνώχ, ὡς εὔ-
Μαλάχ. Δ, ε. σπλαγχνος, ὅπως αὐτοὶ γνωρίσωσιν εὐσέβειαν τῷ γένει τῶν ἀνθρώπων, καὶ κη- Ι.
ρύξωσι παρρησίᾳ θεογνωσίαν πᾶσι, μὴ πιστεῦσαι τῷ τυράννῳ φόβου ἕνεκα, κρά-
ζοντας καὶ λέγοντας· πλάνος ἐστίν, ὦ ἄνθρωποι· μηδεὶς αὐτῷ πιστεύσῃ τὸ σύνολον,
ἢ ὑπακούσῃ τῷ θεομάχῳ· μηδεὶς ὑμῶν φοβηθῇ· ἐν τάχει γὰρ καταργεῖται.
Κύριος ὁ ἅγιος, ἰδού, ἔρχεται ἐξ οὐρανῶν κρῖναι πάντας τοὺς πειθομένους αὐτοῦ
τοῖς σημείοις. πλὴν ὀλίγοι εἰσὶ τότε οἱ θέλοντες ὑπακούειν, καὶ πιστεῦσαι τῷ κη- ΙΒ
ἀλλ. Σωτὴρ ὁ ρύγματι τῶν προφητῶν. Τοῦτο δὲ ποιεῖ ὁ * Σωτήρ, ἵνα δείξῃ τὴν ἄφατον αὐ-
Θεὸς ἡμῶν. τοῦ φιλανθρωπίαν· ὅτι οὐδὲ ἐν τῷ καιρῷ ἐκείνῳ ἀφίησι τὸ τῶν ἀνθρώπων γένος
δίχα κηρύγματος, ὅπως ἀναπολόγητοι ὦσι πάντες ἐν τῇ κρίσει. Πολλοὶ μὲν οὖν
τῶν ἁγίων, ὅσοι τότε εὑρεθῶσιν εἰς τὴν ἔλευσιν τοῦ μιαροῦ, ἐκχέουσι ποταμηδὸν
τὰ δάκρυα ἐν στεναγμοῖς πρὸς τὸν Θεὸν τὸν ἅγιον, τοῦ ῥυσθῆναι τοῦ Δράκον- Κ.
τος· καὶ φεύγουσιν ἐν σπουδῇ μεγάλῃ ἐν ἐρήμοις, καὶ κρύπτονται ἐν ὄρεσι καὶ
σπηλαίοις μετὰ φόβου. καὶ πάσσουσι γῆν καὶ σποδὸν ἐπὶ τὰς κεφαλάς, δεόμενοι
νυκτὸς καὶ ἡμέρας ἐν πολλῇ ταπεινώσει. Καὶ δωρεῖται αὐτοῖς τοῦτο παρὰ Θεοῦ
τοῦ ἁγίου, καὶ ὁδηγεῖ αὐτοὺς ἡ χάρις εἰς τόπους ὡρισμένους, καὶ σώζονται κρυπτό-
μενοι ἐν ταῖς ὀπαῖς καὶ τοῖς σπηλαίοις, μὴ βλέποντες τὰ σημεῖα καὶ τὰ φό- ΚΒ
βητρα τοῦ Ἀντιχρίστου. Τοῖς γὰρ ἔχουσι γνῶσιν εὐχερῶς, ἡ τούτου γνωρίζεται
ἔλευσις. τοῖς δὲ τὸν νοῦν ἔχουσιν εἰς πράγματα βιωτικά, καὶ ποθοῦσι τὰ γήϊνα,
οὐκ εὔδηλον ἔσται τοῦτο. Ὁ γὰρ ἀεὶ δεδεμένος ἐν πράγμασι βιωτικοῖς, κἂν
ἀκούσῃ, ἀπιστεῖ, καὶ βδελύσσεται τὸν λέγοντα. Τούτου χάριν ἐνισχύουσι οἱ ἅγιοι,
ὅτι πᾶσαν τὴν ἡμέραν καὶ τὴν μέριμναν τοῦ βίου τούτου ἀπέρριψαν. Πενθεῖ τότε Λ.
πᾶσα ἡ γῆ, καὶ θάλασσα. καὶ ἀὴρ πενθεῖ, ἅμα καὶ τὰ ζῶα τὰ ἄγρια, σὺν πε-
τεινοῖς τοῦ οὐρανοῦ. πενθοῦσιν ὄρη, καὶ βουνοί, καὶ τὰ ξύλα τοῦ πεδίου. πενθοῦσι δὲ
καὶ φωστῆρες τοῦ οὐρανοῦ διὰ τὸ γένος τῶν ἀνθρώπων, ὅτι πάντες ἐξέκλιναν ἀπὸ
τοῦ Θεοῦ τοῦ ἁγίου, καὶ τῷ πλάνῳ ἐπίστευσαν, δεξάμενοι χαρακτῆρα τοῦ μιαροῦ καὶ
θεομάχου, ἀντὶ τοῦ ζωοποιοῦ σταυροῦ τοῦ Σωτῆρος. Πενθεῖ ἡ γῆ καὶ θάλασσα, ὅτι ΛΒ
ἄφνω κατέπαυσε φωνὴ ψαλμοῦ καὶ προσευχῆς ἐκ στόματος ἀνθρώπου. πεν-
θοῦσιν αἱ ἐκκλησίαι τοῦ Χριστοῦ πᾶσαι πένθος μέγα, διότι οὐ λειτουργεῖται ἁγι-
Δαν. Ζ, κε. ασμὸς καὶ προσφορά. μετὰ γοῦν τὸ πληρωθῆναι τοὺς τρεῖς καιροὺς καὶ ἥμισυ τῆς
τοῦ μιαροῦ ἐξουσίας καὶ πράξεως, καὶ ὅταν πληρωθῇ πάντα τὰ σκάνδαλα πά-
σης τῆς γῆς, καθὼς φησιν, ὁ Κύριος ἥξει λοιπόν, ὡς ἀστραπὴ ἀστράπτουσα ἐξ Μ
οὐρανοῦ, ὁ ἅγιος, καὶ ἄχραντος, καὶ φοβερός, καὶ ἔνδοξος Θεὸς ἡμῶν, μετὰ
δόξης ἀνεικάστου, προτρεχόντων τῶν ταγμάτων ἐνώπιον τῆς δόξης αὐτοῦ ἀγγέλων,

ἀρχαγγέλων, φλέγοντες φλόγες πυρὸς ὄντες, καὶ ποταμοὺς πλήσσης πυρὸς ἐν φοβερῷ ῥοιζήματι. Χερουβὶμ ἤχουσι τὸ ὄμμα κάτω, καὶ Σεραφὶμ ἱπτάμενα καὶ κρύπτοντα τὰ πρόσωπα καὶ τοὺς πόδας ἐν ταῖς πτέρυξι ταῖς ἑαυτῶν, κεκραγότα μετὰ φόβου· ἐγείρεσθε, οἱ καθεύδοντες· ἰδοὺ, ἦλθεν ὁ Νυμφίος. Ἀνοίγονται
E. τὰ μνήματα, καὶ ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ ἐγειρόμενοι πᾶσαι αἱ φυλαὶ, καὶ βλέπουσιν εἰς τὸ κάλλος τὸ ἅγιον τοῦ Νυμφίου. [illegible] καὶ χιλιάδες ἀγγέλων καὶ ἀρχαγγέλων, [illegible] γάλλουσι, ἅγιοι καὶ δίκαιοι, καὶ πάντες οἱ μὴ λαβόντες τὴν σφραγῖδα τοῦ Δράκοντος καὶ ἀσεβῶν ἐγκαλεῖται. Καὶ ἄγεται ὁ Τύραννος δεδεμένος ὑπὸ ἀγγέλων
I. σὺν πᾶσι τοῖς δαίμοσιν, ἐνώπιον τοῦ βήματος· καὶ οἱ λαβόντες αὐτοῦ σφραγῖδα, καὶ πάντες οἱ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ δεδεμένοι. Καὶ δίδωσιν ὁ Βασιλεὺς κατ' αὐτῶν ἀπόφασιν τῆς αἰωνίου κρίσεως εἰς τὸ πῦρ τὸ ἄσβεστον. Πάντες δὲ οἱ μὴ λαβόντες τὴν σφραγῖδα τοῦ Ἀντιχρίστου, καὶ πάντες οἱ ἐν σπηλαίοις, ἀγαλλιῶνται μετὰ τοῦ Νυμφίου ἐν παστῷ αἰωνίῳ καὶ οὐρανίῳ, μετὰ πάντων τῶν ἁγίων,
IE. εἰς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΟΣΙΟΥ ΕΦΡΑΙΜ ΔΙΑΘΗΚΗ.

ΕΓΩ Ἐφραὶμ ἀποθνήσκω. Γνωστὸν οὖν ὑμῖν ἔστω πᾶσιν, ἀγαπητοὶ * Ἐδεσσηνοί. ἴσως, Ἐδεσσηνοί.
Διαθήκην γὰρ ὑμῖν καταλιμπάνω, σύμβολον μνημοσύνης διδαγμάτων
K. τῆς ἐμῆς, ὡς μοι ὑπάρξει χάριτος δωρεᾶς· ὅπως ταῖς ὑπομνήσεσι τῶν λόγων μνείαν μου ποιεῖσθε, οἱ * ἰδόντες καὶ οἱ γινώσκοντες. Οἴμοι, κατέφθασάν με ἄλλως, εἰδότες.
παγίδες θανάτου. Οἴμοι, ὅτι ἐξέλιπον αἱ ὧραι τῆς ζωῆς μου, καὶ ἐκολοβώθη τοῦ σώματός μου χιτὼν, ἀπανηλώθη τε ὁ ἱστὸς, καὶ ὁλοτελῶς κατετρίβη. Ἐξέλιπε τὸ ἔλαιον τοῦ φαίνειν λύχνῳ, καὶ ἤγγισαν οἱ καταπαυστικοὶ τῆς σκηνῆς. Μισθωτὸς
KE. γὰρ ὑπάρχων, ἐπλήρωσά μου τὸ ἔτος· καὶ πάρεργος τυγχάνων, τελέσας τὴν ὁδὸν ἄπειμι. Περιεκύκλωσάν με ἐξ ἀμφοῖν δημόσιοι, οἱ τὴν ἀξίαν τῆς ἀπαιτήσεως ὑποτάξαι μου τὸν αὐχένα ἐν κλοιῷ βαρεῖ, ὡς ἄνθρωπον κρατοῦντες. Τί οὖν
* κλαύσομαι; Ἀλλ' οὐκ ἔστιν ὁ παραστάμενος. † Ἀναβοήσομαι; Καὶ τίς ὁ ἐπα- ἄλλ. κλαύσομαι. †ἄλλ. —σομαι.
κουόμενός μου. Οἴμοι, διὰ τῆς ἀτιμίας κρίσεως, προσδοκία. Ὅτι γὰρ ἐκεῖ Ἐξοδ. 19, [illegible]
Λ. παραστῆναι ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Δεσπότου, καὶ ἐπιγνώσομαι ἐκεῖσε ἑκατέρωθεν [illegible] κυκλοῦντάς με πάντας, ἄρξομαι δὲ αἰσχύνεσθαι. αἰσχύνη γὰρ ὄντως ἐκεῖσε φανερὰ καὶ παντὶ τῷ ἐκεῖ αἰσχυνομένῳ. Κύριε Ἰησοῦ Χριστὲ, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, καὶ μὴ δείξῃς ἔμπροσθεν τὴν κρίσιν μου· ἀλλ' ἐπὶ τοῦ ἐνδόξου βήματός σου παραστῆναί με καταξίωσον. ὃν γὰρ ὁ Θεὸς * κρινεῖ, ἔλεος αὐτῷ [illegible] ἄλλως, κρίνει.
ΛE. τοῦτό φημι παρὰ σοφῶν καὶ συνετῶν ἀποστόλων ἀκήκοα, ὅτι πᾶς ὁ Βασιλέα ὁρῶν, κἂν ἡμαρτηκὼς ᾖ, ὁ τοιοῦτος οὐκ ἀποθνήσκει. Οὐαὶ δέ μοι, ἀδελφοί, τί τὸ συνεσχηκός με; Κλαύσατε ὀλολύζοντες ἐπὶ τῷ συμπτώματί μου. Προσκυνοῦσι γὰρ τῇ φρουρᾷ οἱ ἐναποτιθέντες με, καὶ οἱ ἀποκαθιστῶντές με εἰς τὴν ἀπεκδεχομένην [illegible] βροτὸν χώραν. Ὁ μεγαλόφωνος Ὠσηὲ τοίνυν
M. καταπλήττει με, καθυβρίζων τὰς ἀκοὰς, καὶ λέγει μοι· [illegible] ἐξελείφθης τοῦ Ὠσηὲ, Ζ, θ. Ι, ια.
Ἐφραΐμ, καὶ οὐκ ἐπεστράφης· καὶ πάλιν· Ἐφραΐμ, δάμαλις ἐξοιστρῶσα, δεδιδαγμένη ἀγαπᾶν νεῖκος. Εἰ καὶ λέγει τις περὶ Ἐφραΐμ τοῦ κατὰ [illegible]

[illegible] Προφήτην. ἀλλ' [illegible] ἐγὼ οὕτως ἔχω· ὅτι [illegible] ὁ Προφήτης, ὃ διέγνω [illegible] Ἐφραίμ. Ὁ Δαυὶδ [illegible]

Ψαλμ. ξ, ζ. μέλεσι [illegible], λέγων· Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. [illegible] δὲ φερόμενος [illegible] φημι [illegible] καὶ [illegible] λόγων, [illegible]. Καὶ νῦν βούλομαι, ἀδελφοί μου, [illegible] Β, καὶ [illegible] ἵνα μετὰ τὴν ἔξοδόν μου, μνήμην μου ποιῆτε συνήθως ἐν ταῖς δεήσεσιν ὑμῶν. Προσελθόντες δὲ, παῖδες [illegible] μου, χεῖρας ὑμῶν θέντες [illegible] μου. [illegible]

ἴσ. ὁρατικῶν. [illegible] Τὸ γὰρ [illegible] Ι, [illegible] αὐτῷ. [illegible] καὶ [illegible] με. Μνήμην δὲ ὑμῶν [illegible]

[illegible] Ἐπειδὴ [illegible] μου [illegible] ἡμέρας μου [illegible] Ἐπίσταθε γὰρ καὶ αὐτοί, ἀδελφοί, ὅτι ἐάν [illegible] ἀμελῶντα [illegible]

ἀλλ. κροτήσεις. [illegible] ἀδελφοί, ὅτι [illegible] ὅμοιοι [illegible]

[illegible], ἀδελφοί, μὴ [illegible] Γινώσκετε δὲ, ὅτι [illegible] φησὶ [illegible] Τὸ δέρμα τῆς πίστεως [illegible] ἀδελφοῖς [illegible]

[illegible] Βούλομαι γὰρ ὑμᾶς [illegible]

ἄλλως, φύσει. [illegible] πίστεως τὸν [illegible]

Ἐξοδ. ιθ, ια.

ιζ, ε, ϛ.

Ματ. κζ, μϛ, να.

Μάρκ. ιε, λδ.

ἴσ. [illegible]. [illegible] Ἰουδαίοις [illegible] Ἱερουσαλήμ [illegible]

[illegible] Θεοῦ [illegible]

κ. ἐν κ. τὸ αὐτό. [illegible] Θεὸν [illegible] πίστεως [illegible] Εἰ δὲ [illegible] Θεὸν καὶ Πατέρα [illegible] Υἱὸς αὐτοῦ [illegible] Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον [illegible] Καὶ [illegible] Καὶ [illegible] Εἰ δὲ καὶ [illegible]

[illegible] ἐν [illegible] ὁ Κύριος. Μαὶ τὸ ὑμῶν ζωὰν, ὅτι ἐν ἀληθείᾳ [illegible]
μετ' ἐμοῦ ὑπομένοντα μαθητοὺς περὶ τὴν αὐτῶν ζωὰν [illegible] τοῦ
Υἱοῦ τοῦ Θεοῦ ἔξωσιν. οὐχ ὑπῆρχε τῷ Εφραὶμ βαλάντιον, ἢ ῥάβδος, ἢ πήρα·
ὅτι μὴ ἀργύριον, ἢ χρυσίον, ἢ κτῆσιν ἑτέραν [illegible] τῆς γῆς [illegible]. Τὸ
Ε. γὰρ [illegible] Διδασκάλου ἤκουσε ἐν τοῖς θείοις Εὐαγγελίοις [illegible] τοῖς ἑαυτοῦ
μαθηταῖς, μηδὲν ἐπὶ γῆς κτήσασθαι. ὅτι γὰρ [illegible] ἐμ[illegible] τι [illegible] τούτων. Ματθ. I, 9, ι.
Προσευχέσθε [illegible], ὦ ἀδελφοί μου, [illegible] μοι [illegible], καὶ [illegible]
με. [illegible] Μνημονεύετε δέ μου τοῦ [illegible], ἐν [illegible]
δέκτοις ἁγίαις [illegible] καὶ [illegible]· ἐν [illegible] καὶ [illegible]
Ι. [illegible] μου, * [illegible] βίον, καὶ τὴν ζωὴν. Ἐν φιλ[illegible] [illegible], καὶ ἴσως, τὸ βίν, καὶ τὸ ζωῆς.
[illegible] * Ἐ[illegible], [illegible] ἡμῶν τὸ [illegible] Θεοῦ [illegible], ἴσ. Ἐδεσσηνῶν.
ἵνα μὴ [illegible]
[illegible] ὑμᾶς λόγια [illegible] θεῖα [illegible] μου [illegible].
Καὶ μὴ [illegible] με * ἐν οἴκῳ Θεοῦ [illegible] ὑπὸ θυσιαστήριον. Εἴ τις δὲ τολ- ἀλλ. ἐν οἴκῳ Θεοῦ τεθῆναι ὑπὸ θυσιαστήριον.
ΙΕ. μήσῃ θεῖναί με ὑπὸ θυσιαστήριον, μὴ ἴδῃ τὸ ἐπουράνιον θυσιαστήριον· οὐ γὰρ
καθήκει [illegible] ἀποβαλόντι καταπατηθῆναι εἰς ναὸν καὶ ἁγίασμα Κυ-
ρίου. Ἀλλὰ μήτε εἰς ἕτερον τόπον συγχωρήσητέ με τεθῆναι τοῦ ναοῦ τοῦ Θεοῦ·
μὴ γὰρ [illegible] τοῦ βασιλείου [illegible], [illegible].
Οὐ γὰρ [illegible] δόξα [illegible], καὶ [illegible]. Δι' [illegible]
Κ. [illegible] ἐκ [illegible]
[illegible] ἐμφανερὸν [illegible], καὶ τὴν ἡμῶν [illegible] λόγον ὑφ-
έξομεν, [illegible] ἐπὶ τοῦ Χριστοῦ [illegible]. [illegible] μοι
[illegible] μὴ [illegible] τὴν [illegible]. [illegible]
ἀνθρώπων βίος, [illegible] εἰς [illegible], [illegible]
ΚΕ. τὸν ὠφελῆσαι δύναται. Πᾶν δὲ τὸ [illegible] καὶ [illegible], ἀδελφοί, [illegible]
καὶ μόνον περὶ τῶν μελλόντων καὶ αἰωνίων τὴν φροντίδα ἐχόντων. Ἔχεις γὰρ, ἐν τῷ λόγῳ ᾧ εἶπεν ὁ Κύριος, εἰ πιστεύει περὶ τῶν προσκαίρων, δοκιμάζεται καὶ ἐλέγχεται. Πῶς; Ἄκουε. Πιστεύειν λέγεις, καὶ βασιλείας οὐρανῶν καταξιωθῆναι, καὶ υἱὸς Θεοῦ γενέσθαι, γεννηθεὶς ἄνωθεν, καὶ συγκληρονόμος Θεοῦ γενέσθαι, καὶ αἰῶνας ὅλους συμβασιλεύειν Χριστῷ, καὶ τρυφᾷν ἐν φωτὶ ἀῤῥήτῳ ἐν ἀπεράντοις καὶ ἀναριθμήτοις αἰῶσι, ὡς ὁ Θεός; Πάντως ἐρεῖς· ναὶ, διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ ἀναχωρήσας τοῦ βίου, ἑαυτὸν τῷ Χριστῷ ἐξέδωκα. Δοκίμασον τοίνυν σεαυτὸν, μήποτέ σε μέριμναι βιωτικαὶ καὶ γήϊναι κατέχωσιν ἔτι, καὶ φροντὶς πολλὴ περὶ τῆς τοῦ σώματος τροφῆς καὶ ἐνδύσεως, καὶ τῆς λοιπῆς ἐπιμελείας, καὶ ἀναπαύσεως, τῇ σῇ δυνάμει περιγινόμενος, καὶ προνοούμενος σεαυτοῦ, ὥσπερ προστάχθης ἄλλως περὶ αὐτῶν μὴ μεριμνῆσαι. Εἰ γὰρ πιστεύεις τὰ αἰώνια καὶ ἀθάνατα καὶ ἀδιάδοχα καὶ ἄφθαρτα λήψεσθαι, πόσῳ μᾶλλον ταῦτα τὰ παρερχόμενα καὶ γήϊνα, ἅπερ ὁ Θεὸς ἔδωκε τοῖς θηρίοις καὶ πετεινοῖς καὶ ἀσεβέσιν ἀνθρώποις; Οὐ πιστεύεις προσέχεσθαι

Ματθ. ς, κε, κς, λα, λδ.

σοι τὸν Κύριον, ὥσπερ γὰρ καὶ ἐνετείλατο τοῦ μὴ μεριμνᾷν, εἰπών· μὴ μεριμνήσητε, τί φάγετε, ἢ τί περιβάλλεσθε, ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν γὰρ οἶδεν ὁ Πατὴρ ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων. Καὶ ἐπάγει, ὀνειδίζων ὀλιγοπίστους· ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὔτε θερίζουσι, καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος τρέφει αὐτά. Πόσῳ μᾶλλον διαφέρετε τῶν πετεινῶν; Καὶ πάλιν ἐπασφαλιζόμενος λέγει· μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον. Εἰ δὲ ἔτι περὶ τούτων μεριμνᾷς, καὶ οὐκ ἐνεπίστευσας ἑαυτὸν τῷ λόγῳ αὐτοῦ, γνῶθι ὅτι τὰ αἰώνια ἀγαθὰ, ἅπερ ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, οὐκ ἠμέλλησας ἐπιστεῦσαι λαβεῖν· καὶ νομίζεις πιστεύειν, ἐν τοῖς μικροῖς καὶ φθαρτοῖς ἄπιστος εὑρισκόμενος. Καὶ πάλιν· ὥσπερ τὸ σῶμα τιμιώτερόν ἐστι τοῦ ἐνδύματος, οὕτω καὶ ἡ ψυχὴ τιμιωτέρα ἐστὶ τοῦ σώματος. Πιστεύεις τοίνυν, ὅτι ἡ ψυχή σου ὑπὸ Χριστοῦ ἴασιν δέχεται ἀπὸ τῶν αἰωνίων καὶ ἀθεραπεύτων παρὰ ἀνθρώποις τραυμάτων, τῶν παθῶν τῆς ἀτιμίας, δι' ἣν καὶ ἦλθεν ἐνσωματωθῆναι ὁ Κύριος, ἵνα νῦν τὰς ψυχὰς τῶν πιστευόντων θεραπεύσῃ ἐκ τῶν ἀνιάτων παρὰ ἀνθρώποις παθῶν, καὶ καθαρίσῃ ἀπὸ τοῦ ῥύπου τῆς λέπρας τῆς κακίας ὁ μόνος θεραπευτὴς καὶ ἀληθινὸς Ἰατρός; Ἐρεῖς· πάντως πιστεύω, εἰς τοῦτο γὰρ ἔστηκα, καὶ ταύτην ἔχω τὴν προσδοκίαν. Γνῶθι τοίνυν ἐρευνήσας ἑαυτὸν, μήποτέ σε τὰ σαρκικὰ πάθη πρὸς ἰατροὺς γηΐνους ἀποφέρει, ὡς Χριστοῦ ᾧ ἐπίστευσας μὴ δυναμένου σε θεραπεῦσαι. Εἶδες πῶς σεαυτὸν ἀπατᾷς, ὁρᾷς, ὅτι νομίζεις πιστεύειν, μηδέπω πιστεύειν, ὡς δεῖ, κατὰ ἀλήθειαν. Εἰ γὰρ τὰ αἰώνια καὶ ἀθεράπευτα τῆς ἀθανάτου ψυχῆς τραύματα καὶ πάθη κακίας ἐπίστευσας ὑπὸ Χριστοῦ θεραπεύεσθαι, ἄρα ἀδυνατεῖ θεραπεύειν καὶ τὰ πρόσκαιρα τοῦ σώματος πάθη τε καὶ νοσήματα, ἂν πρὸς αὐτὸν μόνον καταφύγῃς, ὑπεριδὼν ἰατρικῶν ἐπιτηδευμάτων. Ὁ γὰρ τὴν ψυχὴν κτίσας, αὐτὸς καὶ τὸ σῶμα πεποίηκε. Καὶ ὁ ἐκείνην τὴν ἀθάνατον ἰώμενος, αὐτὸς καὶ τὸ σῶμα δύναται ἀπὸ τῶν προσκαίρων παθῶν καὶ νοσημάτων θεραπεῦσαι. Ἀλλὰ πάντως ἐρεῖς μοι· ταῦτα ὁ Θεὸς ἔδωκεν εἰς θεραπείαν τοῦ σώματος, τάς τε βοτάνας καὶ γῆς φάρμακα, καὶ ἰατρῶν ἐπιτηδεύματα, πρὸς τὰ τοῦ σώματος πάθη, προσοικειώσας τῷ ἀπὸ γῆς ὄντι σώματι, ἐκ τῶν τῆς γῆς διαφόρων εἰδῶν οἰκονομήσας. Σύμφημι κἀγὼ οὕτως ἔχειν. Ἀλλὰ γνῶθι, τίσι ταῦτα δέδοται, καὶ τίσιν ᾠκονομήθη. Ὁ Θεὸς, κατὰ πολλὴν καὶ ἄπειρον

*

αὐτοῦ φιλανθρωπίαν καὶ χρηστότητα, ἐκεῖ τρέφοντος τὸν ἄνθρωπον [illegible] ἐν πολλοῖς τῆς
εἴληφε, καὶ ὑπὸ τὴν ἀπόφασιν τῆς ὀργῆς γενομένου, καὶ ὥσπερ εἰς αἰχμαλωσίαν
καὶ ἐρημίαν καὶ μετοικίαν ἐκ τῆς τρυφῆς τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον ἐξορι-
σθέντος, καὶ ὑπὸ τὴν ἐξουσίαν τοῦ σκότους γενομένου, καὶ ἀπίστως διὰ τῆς πλάνης τῶν πα-
E. θῶν, ὑπὸ πάθη καὶ νοσήματα τῆς ἀγνοίας περιπεπτωκότος, ὁ ἀεὶ ἀγαθὸς καὶ ἀνεξί-
κακος, καὶ πάντες ἐξ αὐτοῦ γεννηθέντες τοῖς αὐτοῖς πάθεσι περιπεπτωκότες, ᾠκο-
νόμησε ταῦτα καὶ τοῖς ἀσθενέσι καὶ ἀπίστοις, μὴ βουληθεὶς παντελῶς ἐξολοθρεῦσαι
τὸ ἁμαρτωλὸν τῶν ἀνθρώπων γένος, διὰ πολλὴν χρηστότητα· ἀλλ' ἔδωκεν εἰς ψυ-
χαγωγίαν καὶ ἐπιμέλειαν καὶ θεραπείαν τοῦ σώματος, τοῖς τοῦ κόσμου τούτου ἀνθρώ-
I. ποις, τοῖς ἔξω πᾶσι, ἐκείνοις γὰρ συνεχώρησε ταῦτα χρᾶσθαι τοῖς τῷ Θεῷ μηδέπω
δυναμένοις ἑαυτοὺς ἐξόλου ἐμπιστεύειν. Σὺ δὲ ὁ καυχώμενος, ὁ προσεληλυθὼς
Χριστῷ, καὶ υἱὸς Θεοῦ βουλόμενος εἶναι, καὶ ἄνωθεν ἐκ Πνεύματος γεννηθῆναι, καὶ
ἀνωτέρας τῆς ὁρατῆς καὶ ἀπαθοῦς ἀνθρώπων καὶ μείζονας ἐπαγγελίας ἐκδεχόμενος,
τὴν τοῦ Κυρίου ἐπιδημίαν τῆς βασιλείας, καὶ ξένος τοῦ κόσμου τούτου γενόμενος, καὶ
IE. καινοτέραν τινὰ καὶ ξένην πίστιν καὶ ἔννοιαν καὶ πολιτείαν, παρὰ πάντας τοὺς τοῦ κόσμου
ἀνθρώπους, κεκτῆσθαι ὀφείλεις· ἐπεὶ ἐὰν οὕτως, ὡς καὶ πάντες, διάγῃς, οὐδὲν δια-
φέρεις τῶν κοσμικῶν. Ἰδὲ καὶ ὁ κόσμος γαμεῖ, ἐσθίει, καὶ πίνει, χρυσῷ καὶ ἀργύρῳ
κέχρηται, ἐμπορείαις, τέχναις, πλούτῳ· ἅπερ πάντα ᾠκονόμησεν ὁ Θεὸς τῷ ἀνθρώπῳ
πεσόντι ὑπὸ τὴν ἁμαρτίαν. Οὐ γὰρ εἶναι Θεοῦ, τὸ τῶν ἐν κόσμῳ οἰκονομηθέντων τοῖς
K. ἀνθρώποις ἐρῶμεν εἶναι. Σὺ δὲ πάντων τούτων ἐκτὸς γέγονας διὰ τὴν εἰς Χριστὸν τε-
λείαν ἀναχώρησιν. Οὕτω δὴ καὶ τῆς τοῦ κόσμου τῶν παθῶν θεραπείας, ἰατρευόντων τε
ἐπιτηδευμάτων ἐκτὸς εἶναι ὀφείλεις, ὡς προσαποφυγὼν Χριστῷ, τῷ πάντα παρέ-
χειν τοῖς ἑαυτοῦ δούλοις ἐπηγγελμένῳ. Εἰ δὲ τὰ αὐτὰ τῷ κόσμῳ φρονεῖς καὶ
πράσσεις, ὅμοιος αὐτῷ ἔτι τυγχάνεις, ἄπιστος, νομίζων εἶναι πιστὸς καὶ ἀληθὴς Χριστοῦ.
KE. Καινῆς γὰρ καὶ ξένης προαιρέσεως, καὶ πίστεως, καὶ ἀναστροφῆς, καὶ πολιτείας, παρὰ
πάντα τὸν κόσμον, ὀφείλεις ἐπιμεληθῆναι καὶ τυχεῖν, ὁ βουλόμενος τελείως εὐαρε-
στῆσαι Χριστῷ, καὶ τοῖς ἴχνεσιν αὐτοῦ ἐξακολουθῆσαι, καὶ τὰ ἐναντία φρονεῖν τῶν τοῦ
αἰῶνος τούτου ἀνθρώπων· ἐπειδὴ καινὴν καὶ παράδοξον ἀκολουθίαν [illegible], αἰωνίων
ἀγαθῶν ἐπαγγέλματι, καὶ πόλεως οὐρανίου κληρονομίας, καὶ βασιλείας ἀκηράτου,
Λ. καὶ τρυφῆς διηνεκοῦς, καὶ αἰωνίου ἀπολαύσεως, καὶ χαρᾶς [illegible], καὶ διὰ
Πνεύματος παντελῆ σοι γενομένην κάθαρσιν. Ὁ γὰρ βουλόμενος ἐξ ἀληθείας
Χριστοῦ εἶναι ἄνθρωπος, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐλπίζων ἐπιτυχεῖν, τοὺς πόνους καὶ
τὰς θλίψεις πλοῦτον ἡγεῖσθαι μετὰ χαρᾶς ὀφείλει, καὶ τὴν κακουχίαν ἀνάπαυσιν, τὴν
σκληρὰν δίαιταν τρυφήν, τὸ ὄνειδος τιμήν, καὶ τὰς ὕβρεις δόξαν λογίζεσθαι·
ΛE. αὕτη γάρ ἐστι τῶν τοῦ Θεοῦ δούλων ἡ δόξα, τῶν τῷ Κυρίῳ αὐτῶν ἀκολουθησάντων, καὶ
τοῖς αὐτοῦ λόγοις πειθομένων. Ἀλλ' οὐ μόνον τὸ ὄνειδος ὁ ἀγωνιστὴς καὶ στρατιώτης
τοῦ Χριστοῦ φέρειν ὀφείλει, ἀλλὰ καὶ ἐὰν ἀπαντήσῃ πλοῦτος, ὡς κοπρίαν βδελύσ-
σεσθαι προσήκει. ἐὰν δόξα καὶ ἀρχή, μὴ ἐπαρθῇ καὶ τυφωθῇ. ἐὰν ἔπαινοι καὶ
τιμαὶ ἀνθρώπων, * ὡς οὐ δέοντα οὕτως ἡγεῖσθαι· μᾶλλον δὲ ἐν τούτοις θλίβεσθαι τοῖς γρ. ὡς οὐκ ὄντα. καὶ, ὡς οὐδὲν ὄντα.
M. νομιζομένοις ἐνδόξοις· καὶ ἐπ' ἐκείνοις χαίρειν καὶ ἥδεσθαι τοῖς ἐν κόσμῳ ἀτί-
μοις. δύναται γὰρ ἔσθ' ὅτε ὄνειδος μὲν ἐνεγκεῖν, δόξας δὲ καὶ τιμὰς μὴ ἐνεγκεῖν.
Ἀλλ' ἐπαρθῆναι, καὶ ἑαυτοῦ ἐκστῆναι, καὶ τὴν ὁδὸν τῆς δικαιοσύνης τὴν ταπεινὴν

β Κορ. ϛ, ζ, η. ἀφιένου. ὡς φησὶν ὁ Παῦλος· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, ὅπως τὴν ἀμφοτέρων ἀνωμαλίαν παραγυμνάζοντες, αὐτὸς ἴσος καὶ ἄσειστος τυγχάνῃ, ἑαυτὸν μηδενὶ ὑποταγμένον. Τὸν γὰρ ὄντως εὐαρεστῆσαι τῷ Κυρίῳ βουλόμενον, ἔτοιμος εἶναι δεῖ καὶ τὸν σκοπὸν τῆς αὐτοῦ προαιρέσεως ἕτοιμον τελειῶσαι. Ὥσπερ γὰρ ὁ ἄκμων τυπτόμενος καὶ οὐκ ἐνδίδωσιν, οὐδὲ κοιλωμάτων τύπους δέχεται εἰς ἑαυτόν, ἀλλ' ἔστιν ὁ αὐτὸς ἴσος ἀεί· οὕτω καὶ ὁ χριστιανίζειν βουλόμενος, εἰς τὰς διαφόρους θλίψεις τε καὶ τοὺς πειρασμούς, ἤτοι τὰς ἔξωθεν τῶν ἀνθρώπων ἐπαγομένας ὕβρεις, ἢ διωγμούς, ἢ ζημίας, ἢ τινα τοιαῦτα, ἤτοι τὰς ἔνδοθεν ὑπὸ τῶν τῆς κακίας πνευμάτων διαφόρως ἐπαγομένας, μένετω ἀεὶ ἴσος, φέρων γενναίως πάντα τὰ ἐπερχόμενα. Ὀχύρωμα καὶ

ἴσ. ἀλεξητήριον. *ἀλεξητήριον καὶ πύργον ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ ἔχων τὸν Κύριον ἀεί, καὶ ἐν αὐτῷ καταφευγέτω ἐν τῷ καιρῷ τοῦ πολέμου μὴ ἐν ἄλλῃ τῶν ἐχθρῶν χώρᾳ τυγχάνων,

Ψαλμ. Λα, β. καὶ λεγέτω· γενοῦ μοι ὁ Θεὸς εἰς καταφυγήν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.

ἄλλως, δυνήσεται. Οὕτως *δυνήσεται περιγενέσθαι πάντων τῶν ἐπερχομένων πειρασμῶν καὶ θλίψεων, πάντοτε τὸν Κύριον καὶ τὴν εἰς αὐτὸν πίστιν καὶ ἐλπίδας, ὡς βεβαίαν πεποίθησιν διαπαντὸς πρὸ ὀφθαλμῶν ἔχων. Ἀλλὰ καὶ δόξαι ἀνθρώπων καὶ ἔπαινοι καὶ τιμαὶ καὶ ἀρχαὶ ἐὰν ἀπαντῶσιν, ὡς προσείρηται, μὴ καλύμματα καὶ τύπους ἐν τῇ ψυχῇ ἐμποιείτωσαν, ἐν τῷ ἥδεσθαι αὐτοῖς καὶ ἐπαναπαύεσθαι, καὶ διὰ ταῦτα ἐπαίρεσθαι

α Κορ. ϛ, ζ, η. καὶ ὑψοῦσθαι. Διὰ γὰρ δεξιῶν καὶ ἀριστερῶν πειραζόμενος, τοῦτ' ἔστι, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας, ἴσος καὶ ἀνένδοτος εἶναι χρὴ ἐν ἀμφοτέροις

Ματθ. Ζ, κδ. Λουκ. ϛ, μη. τέροις τοῖς μέρεσιν, ἄσειστος ἀεὶ τυγχάνων. Οὕτως ὁ ἐπὶ τὴν πέτραν τὸν ἑαυτοῦ θεμέλιον οἰκοδομήσας πρόσω, πλημμυρίας καὶ ποταμῶν θλίψεων, καὶ χειμῶνος πειρασμῶν, ἀνέμων δὲ δεινῶν τῶν πνευμάτων τῆς πονηρίας προσκρουόντων καὶ προσρηγνύντων, οὐκ ἔπεσεν, ἐπεὶ τεθεμελίωτο ἐπὶ τὴν πέτραν. Εἰς τοιαύτην ἕξιν καὶ ἀγαθὴν μελέτην, ἀνδρείας τε λέγω καὶ χρηστότητος, μακροθυμίας τε καὶ ὑπομονῆς, πίστεως καὶ ἐλπίδος καὶ πεποιθήσεως, προσήκει ἐξασκῆσαι ἑαυτόν, διὰ τοῦ λόγου τοῦ Θεοῦ, καὶ ἰδίας πρὸς ἀγαθὸν καὶ ἀγῶνα οἰκείου, καὶ τοῖς λοιποῖς τῆς ἀρετῆς ἐπιτηδεύμασι διαπρέπων, καὶ τῷ λόγῳ ἑπόμενος τοῦ Θεοῦ, ἐπειδὰν τὴν ἐξ ὕψους δύναμιν ἐν πληροφορίᾳ πίστεως δεξάμενος, ὁ τοιοῦτος ἀληθῶς ἐστι θεμέλιος καὶ οἶκος καὶ στύλος καὶ ἑδραίωμα ἐν τῇ χάριτι τοῦ Θεοῦ, καὶ πολλῶν ψυχῶν αἴτιος ζωῆς γίνεται, τὴν ἀσθένειαν τῶν πολλῶν βαστάζειν δυνάμενος. Καὶ ἡμεῖς τοίνυν εἰς πᾶσαν ἀρετὴν ἑαυτοὺς ἐξασκήσοντες, καὶ παντὶ ἔργῳ ἀγαθῷ πρὸς τὴν ἀφθαρσίαν τῆς ζωῆς ἑαυτοὺς ἀποδόντες, καὶ ἀνένδοτοι πρὸς πάντα πειρασμὸν τὸν ἐπιφερόμενον, καὶ ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ δυναμούμενοι, τῶν αἰωνίων ἀγαθῶν κληρονόμοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΕΛΟΣ.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ.

ΕΚ ΤΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

Ε. ΕΦΡΑΙΜ ὁ θαυμάσιος ἔφυ μὲν ἐκ τῆς Σύρων γῆς. Ἐλόμενος δὲ τὴν
ἀρετὴν ἐκ νηπίου, φυλάττεσθαι μὲν ἀεὶ καὶ φεύγειν τὰς ἀτελεστέρας τῶν
ἡλικιωτῶν ἔσπευδεν ὁμιλίας. Ὡμίλει δὲ συνεχῶς μᾶλλον ταῖς ἱεραῖς
τῶν Γραφῶν βιβλίοις· καὶ ἡ περὶ αὐτὰ σπουδή τε, καὶ χρῆσις, καὶ μελέτη
πάσης ὑπῆρχε τῷ Ἐφραὶμ ἡδονῆς ἡδίων. Ὡς καὶ αὐτὸν συνῳδὰ τῷ Προφήτῃ λέγειν·
Ι. ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου· ὑπὲρ μέλι τῷ στόματί μου. Ἐντεῦθεν Ψαλμ. Ριθ, ϛγ.
συνέτροφος αὐτῷ καὶ ἡλικιῶτις ἀρετὴ πᾶσα, καὶ ἡ πρὸς ταύτην πόνιος σπουδή. Καὶ τί γὰρ
οὐ πρὸς ἀκρίβειαν αὐτῷ κατωρθώθη; Οὐ νηστεία; Οὐκ ἀγρυπνία; Οὐ χαμευνία;
Οὐ χρηστότης; Οὐκ ἐπιείκεια; Οὐκ ἀκτημοσύνη; Οὐκ ἐπὶ τοσοῦτον πλείστῳ τῶν
ἀγαθῶν, καὶ ἡ ταπεινοφροσύνη; Οὐ μὴν οὐδὲ τοῦ διδασκαλικοῦ χαρίσματος
ΙΕ. ἄμοιρος ἦν· ἀλλ' ἔστιν εἰς ἔτι καὶ νῦν, διὰ τῶν ἑαυτοῦ λόγων, ὑμῖν ὁμιλῶν, νουθε-
τῶν, παρακαλῶν, συμβουλεύων, διαλεγόμενος. Ἀφ' ὧν οὐ μόνον τὸν ὀρθὸν τῆς πί-
στεως λόγον ὀρθοτομεῖν ἔχομεν, ἀλλὰ καὶ πρὸς τὴν τῆς ἀρετῆς κτῆσιν διανιστάμεθα.
Τῆς μέντοι πρὸς Θεὸν ἐλπίδος, καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης τοσοῦτον ἐμέλησε τῷ
Ἐφραίμ, ὡς αὐτὸν ἐκεῖνον εἰπεῖν ἀπιόντα τοῦ βίου ἀπομείρεσθαι· δεῖ γὰρ τοῖς αὐτοῦ χρή-
Κ. σασθαι λόγοις· Οὐδαμῶς ἐν πάσῃ τῇ ζωῇ μου ἐλοιδόρησα Κύριον, οὐ λόγος ἄφρων
διὰ τῶν ἐμῶν προῆλθε χειλέων. Ἐν πάσῃ τῇ ζωῇ μου κατηρασάμην οὐδένα.
καθόλου τε οὐδενὶ τῶν πιστῶν διεμαχεσάμην. Ἦν δὲ καὶ τὸ δάκρυον ἀπαύστως αὐτῷ
τῶν ὀφθαλμῶν ἀπορρέον, ὥσπερ ταῖς ἀενάοις πηγαῖς τὸ ῥεῖθρον ἀδιαλείπτως·
ἢ ἐκεῖνον ὑετίζον τὸ δάκρυον. Σημαίνεται μέντοι τοῦτο δὲ τοῖς δάκρυσι καὶ τὸ συνεχῶς μεν
ΚΕ. τὸ ἔνδον ὑποκαιόμενον τῆς κατανύξεως ἐμφαίνοντες πῦρ· ὅπερ σαφέστερον ἄν τις εἴσεται
τοῖς ἐκείνου συγγράμμασιν ἐντυχών. Εὑρήσει γὰρ αὐτὸν περὶ κρίσεως πανταχοῦ καὶ
παρουσίας Χριστοῦ τῆς δευτέρας φιλοσοφοῦντα, τό τε φοβερὸν ἐκεῖνο βῆμα, οἷα πρὸ
τῶν ὀφθαλμῶν τιθέμενον, καὶ τὴν ἡμέραν ἐκείνην ὑποτυποῦντα τῇ διανοίᾳ, ἑαυτόν
τε κατάκριτον εἰσαγόμενον, καὶ λίαν ἐλεεινῶς ὀδυρόμενον. Ταῖς τοιαύταις Ἐ-
Λ. φραὶμ ἀεὶ σχολάζων τοῦ νοῦ φαντασίαις, ἐμακάριζε, κατὰ τὸν Ψαλμῳδόν, φυγαδεύσαντα, Ψαλμ. Νι, ζ.
καὶ θόρυβον πάντα βιωτικόν, καὶ κλύδωνα, καὶ σάλον ἐκκλίναντα. Καὶ περὶ τὴν ἔρημον
αὐλιζόμενος, ἐν τόπῳ δὲ τόπους ἀμείβων, ψυχῶν οἰκοδομῆς χάριν καὶ ὠφελείας·
ἅτε καὶ Πνεύματι Θείῳ κινούμενος, ἀπολιμπάνει ποτὲ τὴν ἐνεγκαμένην κατὰ τὸν Θεῖον
καὶ οὗτος Ἀβραὰμ κελευσθείς, καὶ τὴν * Ἐδεσσηνῶν πόλιν καταλαμβάνει, ἅμα μὲν κατὰ ἴσ. Ἐδεσσηνῶν.
ΛΕ. προσκύνησιν τῶν ἱερῶν ἐν αὐτῇ λειψάνων τε καὶ τόπων ἐλθών· ἅμα δὲ καὶ κατὰ συν-
τυχίαν ἀνδρὸς τῶν λογίων τινός, ὥστε γνώσεως καρπὸν ἐκεῖθεν λαβεῖν. Ὃ καὶ παρὰ
Θεοῦ αἰτεῖ τε, οὕτως εἰπών· Ἰησοῦ Χριστέ, δέσποτα καὶ κύριε πάντων, ἀξίωσόν με τῇ
πόλει * Ἐδέσσης εἰσιόντα τοιούτῳ ἀνδρὶ αὐθις ἐντυχεῖν, ὃς ἱκανὸς ἔσοιτο πρὸς οἰκο- ἴσ. Ἐδεσαν.

δομένην ψυχῆς καὶ ὠφέλειαν ἐμοὶ συλλαλῆσαι. Οὕτως εὐξάμενος, ἐπεὶ πρὸς ταῖς τῆς πόλεως εἰσόδοις, καὶ τὴν πόλιν εἰσῄει, συννοίας ἦν, καὶ προσεκτικὸς, καὶ μεμεριμνημένος, οἷα σκοπῶν, ὅπως μὲν ἐκείνῳ τῷ ἀνδρὶ προσέλθοι, τίνα δὲ πύθοιτο παρ' αὐτοῦ, καὶ ποίας ἀπολαύσοι τῆς ὠφελείας. Οὕτω τοιγαροῦν ἐπὶ συννοίας βαδίζοντι γυνή τις εὐθὺς συναντᾷ, καὶ αὐτὴ πόρνη. Θεοῦ δὲ τοῦτο πάντως ἦν, τοῦ διὰ τῶν ἐναν- E.
τίων πολλάκις οἰκονομοῦντος τὰ ἐναντία μυστικῶς τε καὶ ἀπορρήτως. Ὁ μὲν οὖν ἱερὸς Ἐφραὶμ, οὕτω παρ' ἐλπίδα πᾶσαν ἐντυχὼν τῇ ἑταίρᾳ, ἵστατο πρὸς αὐτὴν ἐξεστηκός τι καὶ ἀτενὲς ἐνορῶν, ἀλύων τε καὶ ταλαιπωρούμενος καθ' ἑαυτὸν τὴν ψυχὴν, ὅπως μὴ κατ' εὐχὴν, ἀλλὰ παντάπασιν ἀπ' ἐναντίας μᾶλλον ἀπέβη τὸ αἰτηθέν. Ἡ δὲ οὕτως ὁρῶντα ἰδοῦσα, ὀξύτατον αὐτῷ πάλιν ἐπιβάλλει τὸν ὀφθαλμόν. Ἐπεὶ δὲ οὕτω I.
μέχρι πολλοῦ πρὸς ἀλλήλους ἑώρων, βουληθεὶς αὐτὴν ἐντρέψαι, καὶ εἰς αἰδῶ γυναιξὶ πρέπουσαν ἀγαγεῖν ὁ μέγας· τί δὲ οὐκ ἐρυθριᾷς, γύναι, φησὶν, οὕτω πεπηγόσιν ὀφθαλμοῖς εἰς ἡμᾶς ὁρῶσα; Κἀκείνη· ἀλλ' ἐμὲ οὕτως, ἔφη, προσῆκόν ἐστι πρὸς σὲ βλέπειν, ἐκ γὰρ ἐκ σοῦ καὶ τῆς σῆς εἴλημμαι πλευρᾶς. σὲ δὲ οὐ πρὸς ἡμᾶς, ἀλλὰ πρὸς τὴν γῆν μᾶλλον ὁρᾶν δεῖ, ἐξ ἧς πάλιν ἐλήφθης αὐτός. Τούτων ἔξω IE.
πάσης ἀκούσας ὁ Ἐφραὶμ προσδοκίας, τῇ τε γυναικὶ μεγάλας ὡμολόγει χάριτας ὠφελείας, καὶ Θεῷ θερμῶς ἀνέπεμπε τὰς εὐχαριστίας, τῷ διὰ τὴν παρ' ἐλπίδα πολλάκις, καὶ αὐτῶν ἐλπίδων κρείττονα ποιεῖν παράπολυ δυναμένῳ. Ὡς οὖν ἱκαναὶ διῆλθον ἡμέραι, καὶ Ἐφραὶμ τὸν θεῖον ἡ πόλις Ἔδεσσα εἶχε, πόρνη τις γυνὴ ἐκ γειτόνων αὐτῷ οἰκοῦσα, ὄργανον εἰς κακίαν τῷ Πονηρῷ γίνεται· καὶ δι' αὐτῆς, K.
ὥσπερ διὰ τοῦ ὄφεως αὐτῇ πρότερον, τῷ δικαίῳ προσβάλλει. Ἐπεὶ οὖν βρῶσιν τινα ἐτύγχανεν ἔχων ὁ θεῖος Ἐφραὶμ, ἐκείνη διανοίξασα τὴν θυρίδα, ἥτις ἄρα καὶ ἦν ἐπὶ τοῦ μεσαύλου, παρακύπτει τε ἀναισχύντως, καὶ αὐτὸ τοῦτο ἑταιρικῶς εἶτα καὶ ἀναιδῶς ἐμβλέψασα τῷ ὁσίῳ, Εὐλόγησον Ἀββᾶ, λέγει. Ὁ δὲ μετὰ τοῦ προσήκοντος αὐτῷ σχήματός τε καὶ φθέγματος, Ὁ Κύριος, φησὶν, εὐλογήσαι σε. Αὐτὴ δὲ KE.
πάλιν μετὰ θερμοῦ τοῦ γέλωτος καὶ ἀσέμνου, Ἀλλὰ τί, εἶπεν, ἐλλείπει τῷ βρώματί σου; καὶ ὅς, Τρεῖς, ἔφη, λίθοι καὶ ὀλίγη πηλὸς, ὥστε τὴν θυρίδα ταύτην ἀναφράξαι. Ἐκείνη μηδὲν ὑποενδοῦσα τῆς ἀναιδείας, Οἱ σὲ προλαβόντες, ἔφη, προσηγορεύσαμεν, τοῦτό σοι τύφον ἔτεκεν; Ἐγὼ συγκοιμηθῆναι βούλομαί σοι, φησί. σὺ δέ με τὴν πρώτην εὐθὺς ἀπηγόρευκας; Πρὸς ταῦτα, ὥσπερ ἐκείνη ῥημάτων σατανικῶν, Λ.
οὕτω πολλῷ μᾶλλον αὐτὸς πνευματικῶν οὐκ ἠπόρησε λόγων, καὶ οἵων αὐτόν τε ἔδει λέγειν, κἀκείνην ἀκούειν. Εἰ βούλει γὰρ, ἔφη, ἀμφοτέρους συγκαθευδῆσαι, ἔνθα ἂν καὶ εἴπω σοι, ἐκεῖσε δὴ καὶ κοινῇ συγκεισόμεθα. Ὡς δὲ ἐκείνη τὸν λόγον ἥρπασε, καὶ ἤρετο τὸν τόπον, ἵνα τοῦτο γενέσθαι δεῖ· Οὐκ ἐν ἄλλῳ, ἔφη, τόπῳ, ὅτι μὴ ἐν τῷ μέσῳ συνελεύσομαί σοι τῆς πόλεως. Καὶ αὐτή· ἀλλ' οὐκ αἰδὼς, ἔφη, καὶ αἰσχύνη σαφὴς ΛE.
ἀπὸ τῶν ὁρώντων ἀνδρῶν, οὕτω γοῦν ἐν τῷ μέσῳ κειμένων ἡμῶν. Ἑάλω ἡ ἑλεῖν βουληθεῖσα γυνὴ τὴν ἀπαθῆ ψυχὴν καὶ ἀνάλωτον, οὐδὲ τοῦτο γνῶναι δυνηθεῖσα,
Σοφ. Σιρ. Κγ, ιθ. ὅ φησι Σολομῶν, ὅτι οἱ ὀφθαλμοὶ Κυρίου τοῦ ὑψίστου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν, οἱ ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων. Αὐτίκα γοῦν, οἷα λαβῆς τοῦ ῥήματος ὁ γενναῖος δραξάμενος ἀντεπῆγεν· εἰ οὖν ἀνθρώπων ὀφθαλμοὺς ἔκρινας M.
ἱκανῶς ἔχειν ἐντρέψαι ψυχὴν, καὶ πονηρᾶς ἀφελκῦσαι πράξεως· οὐ τοὺς τοῦ Θεοῦ πάντα βλέποντας ὀφθαλμοὺς, ὅσα τε ἐν ἀδήλῳ, καὶ ὅσα κατὰ τὸ ἐμφανὲς πράττονται,

οὐ πολλῷ μᾶλλον αἰδεσόμεθά τε καὶ ἀποπληξόμεθα καὶ πονηρῶν πραγμάτων ἀφεξό-
μεθα, ὃ κατήγορον ἀεὶ σύνοικον τὸ συνειδὸς ἡμῖν ἐπεγείρει, καὶ βασάνους ἐκεῖθεν
πέρας ἐχούσας οὐδαμῶς τεκμαίρεται; Ταῦτα ἱκανὰ γέγονεν, οὐχ ἁπλῶς παῦσαι τὴν
πόρνην ἀποσχέσθαι τῆς πρὸς αὐτὸν φαύλης ἐπιθυμίας, ἀλλὰ καὶ ὑπὲρ τῶν προτέρων
E. αὐτῇ μεταμεληθῆναι καλῶς, ὅλως τε τοῦ βίου μεταβολὴν καὶ τῆς γνώμης ἐνθεῖναι. Αὐ-
τίκα γοῦν προσελθοῦσα, καὶ εἰς γῆν πεσοῦσα, καὶ ποδῶν ἐκείνου τῶν ἱερῶν ἁψαμένη,
συγγνώμην τε ᾐτεῖτο τῆς ἀλλοκοτάτης ἐπιθυμίας καὶ ἀκολάστου ῥοπῆς· καὶ ὅπως ἂν
γνησίαν εἰσενεγκοῦσα τὴν μετάνοιαν, τῆς [ὁδοῦ] πρὸς σωτηρίαν φερούσης μὴ διαμαρτεῖν,
ὁδηγὸν αὐτὸν καὶ διδάσκαλον ἠξίου λαβεῖν. Ὁ δὲ (καὶ πῶς γὰρ οὐκ ἔμελλεν Ἐφραὶμ
I. ὢν ἐκεῖνος αἰτήμασι τοιούτοις ἑτοίμως ὑπηρετεῖν) καὶ παραινεῖ τὰ δέοντα, καὶ τοῦ μὴ
πορνευθῆναι πάλιν, τοῦ θείου φωνῇ Ἱερεμίου, ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας
αὐτῆς τῆς πονηρᾶς, μηδὲ καταφρονῆσαι, τοῦ δευτερῶσαι ὁδοὺς αὐτῆς ἀσφαλέστατα
παραγγέλλει, εἰς μοναστήριόν τε γυναικεῖον εἰσάγει ἀρετῆς ἐπιμελουμένων. Καὶ τέ-
λος, τοῦ ἐκείνου ὑποσκελίσαι τῆς εὐθείας ὁδοῦ βουληθείσης, αὐτὸς ἀπὸ τῆς ὁδοῦ μᾶλ-
IE. λον τῆς πονηρᾶς ἐπιστρέψας, καρπὸν ἔσχε δικαιοσύνης, τὴν ἐκείνης ἐπιστροφήν. Οὕ-
τως ὁ θεῖος Ἐφραὶμ δύο πόρναις γυναιξὶν ἐντυχών, τὴν μὲν ὠφέλησεν, ἐκ δὲ τῆς
αὐτὸς ἀπέλαυσεν ὠφελείας, ἢ τὸ ἀληθέστερον εἰπεῖν, ἐξ ἀμφοτέρων· καὶ παρ' ἐλ-
πίδα πᾶσαν ἀμφότερα, ἅτε δὴ καὶ ῥοπῆς θείας συνδραμούσης ἐπ' ἀμφοτέροις.
Ἐκεῖθεν ἐπὶ τὴν Καππαδοκίας Καισάρειαν ὑπὸ τῆς ἀγούσης αὐτὸν ἄνωθεν ὁδηγη-
K. θεὶς χάριτος, τὸν μέγαν εἶδε Βασίλειον, τὸ στόμα τῆς ἐκκλησίας, τὴν τῶν δογμάτων
πηγήν. ὃν Ἐφραὶμ ἰδὼν πολλαῖς ἤρξατο γεραίρειν ταῖς εὐφημίαις. διορατικῷ
γὰρ ὄμματι τῆς ψυχῆς ὁρᾷ τινα περιστερὰν (ἡλίου ἀκτῖσι τὸ εἶδος ἐκείνης ὅμοιον ἦν)
τῷ δεξιῷ τότε ὤμῳ λαμπροτέραν λαμπρῶς ἐπικαθημένην, πρὸς ἣν τε ὡμίλησεν
τοῦ Βασιλείου, κἀκεῖνον πάλιν τῷ λαῷ τὰ ὑπ' αὐτῆς ὥσπερ ὑπαγορευόμενα διη-
KE. γούμενον. Ὃς καὶ ὑπὸ τῆς σεπτῆς ἐκείνης περιστερᾶς τὰ κατὰ τὸν Ἐφραὶμ μυηθείς,
ἔγνω τε αὐτὸν ὅστις εἴη, καὶ ὅτι χάριν ἀφίκοιτο, δι' ὃ καὶ μεταδιδοῦσιν ἀλλήλοις τῆς
ὁμιλίας, καὶ τῆς παρ' ἀλλήλοις καλῶν ἀπολαύουσιν. Ἀλλ' ἐπανιτέον καὶ αὖθις ἐπὶ
τὸν θεῖον Ἐφραὶμ, καὶ μόνα καιριώτατα τὰ ἐκείνου διηγητέον· ὅπως τε λογισμὸν
οὐδένα μὴ πρὸς ἐργασίαν ἀρετῆς αὐτῷ συνεισφέροντά τι παρεῖτο· καὶ ὅπως δα-
Λ. ψιλῶς αὐτῷ παρὰ Θεοῦ τὸ τῆς διδασκαλίας ἐδέδοτο τάλαντον, ὃ καὶ διαφερόντως
ἐκεῖνος εἰς τὰς τῶν ψυχῶν αὐξάνειν ἀεὶ τραπέζας ἐσπούδασε. Καὶ τοῦτο αὐτὸς
ἐπισημαίνεται, λέγων· ὡς ἄρα παῖς ἔτι ὢν καὶ ἐντὸς ἐφήβου, ἄμπελον ἴδοι τινὰ
βριθομένην πυκνοῖς τοῖς βότρυσι, τῆς ἑαυτοῦ γλώττης ἀναδοθεῖσαν, ἐπὶ πολύ τε
ὕψος ἀρθεῖσαν, καὶ * τὰ νῶτα πάσης ἐπισχοῦσαν τῆς γῆς. Καὶ πᾶν μὲν πετεινὸν ἐφιζά- ἴσ. τὴν ὅπ.
ΛE. νον ἦν αὐτῇ, καὶ περιιπτάμενον, καὶ τῶν βοτρύων σιτούμενον. Ἡ δὲ ἄμπελος ὅσῳ τοὺς
βότρυας ἀπεκείρετο, καὶ τοὺς ὄρνιθας φιλοτίμως ἐδεξιοῦτο, τοσούτῳ πλέον ἔβρυε τῷ
καρπῷ, καὶ πολὺν αὐτὸν ἐκαρποφόρει καὶ ἄφθονον. Καὶ τοῦτο μὲν αὐτός φησι περὶ
ἑαυτοῦ. Ἐκεῖνο δὲ τοῦ Ἐφραὶμ καὶ ἄλλοι προσμαρτυροῦσι τῶν βλέπειν τὰ τοιαῦτα ἠξιω-
μένων. θεάσασθαί ποτε λέγουσιν ἀγγέλων πληθὺν ἄνωθεν κατιόντας, καὶ τόμον τά
M. τε ἔνδον καὶ τὰ ἐκτὸς γεγραμμένον διὰ χειρὸς ἔχοντας. ἐπυνθάνετο δὲ ἡ φανεῖσα ὄψις
ἐκείνη πρὸς ἑαυτήν, τίς ποτε ἄρα τὸν τόμον ἐγχειρισθείη· καὶ τῶν μὲν τοῦτον, τῶν δὲ
ἐκεῖνον, καὶ ἄλλων ἄλλον προβαλλομένων, ὅσοι δηλαδὴ καὶ βίον εὐλαβῆ καὶ σώφρονα

τὴν ὑπερῷον τὰ μεταπίονται ἦσαν. τέλος ἐπὶ τῷ Ἐφραὶμ ἀπέστη συμφωνησάντων αὐτοὺς
καὶ τὸν τόπον ὑπὸ τοῦ ἱεροῦ πλήθους σκεύεται. δυσωπηθεὶς οὖν ὁ τὴν ὄψιν ἰδὼν, περιεφέρετο
τὴν ἐκκλησίαν καταλαμβάνει, καὶ τὸν Ἐφραὶμ εὑρὼν ἐν αὐτῇ διδασκαλίαις ὅτι χρη-
σταῖς καὶ αὐτοῦ μέλιτος ἡδυτέραις τοὺς ἀκούοντας ἐνεπίπλα. ταύτῃ τὸ ὄναρ συμβάλλει
καὶ ὁ μὲν ἀξίαν ὁμολογεῖ τῷ Θεῷ τὴν χάριν. Ἐξ ἐκείνου δὲ τῷ Ἐφραὶμ οὕτως εἶχε E.
τὰ τοῦ λόγου ῥεῖθρα ἀένναα καὶ συντόμως, καὶ τοσαῦτα αὐτὸν ἡ τῶν ἐνθυμημάτων
συνέχεια ἐπικλύζουσα ἦν, ὡς μηδὲ τὴν γλῶτταν ἱκανῶς ἔχειν ὑπηρετεῖν τῷ τάχει
τῶν νοημάτων· καίτοιγε τοιαύτῃ κεχρημένην εὐροίᾳ περὶ τὸ λέγειν, καὶ οὕτως ἑτοί-
μως ἔχουσαν τὸ νοηθὲν ἀπαγγέλλειν, ὡς μηδεὶς τάχους λόγοι αὐτὴν ἀπολείπεσθαι τῶν
παρ' ἄλλοις ἐνθυμημάτων. Ὥστε κἀκεῖνον λέγεταί ποτε φάναι πρὸς τὸν Θεὸν I.
ἀεὶ, ὦ Δέσποτα, τὰ χάριτός σου τὰ κύματα. ὑπὸ γὰρ τὴν γλῶτταν ἡ τῆς διδασκα-
λίας ἄβυσσος πελαγίζουσα πηγὴ αὐτοῦ οὐκ εἶχε λοιπὸν τὴν πρὸς τὸ λέγειν ὀργάνων
οὐχ ὑπηρετοῦσαν. Ἐπέκοπτε δὲ τοὺς λόγους ἕτερον μὲν οὐδὲν, εὐχὴ δὲ μόνη καὶ
ταύτην τὰ δάκρυα. Αἱ γὰρ νύκτες αὐτὸν γρηγορῶντα καταλαμβάνουσαι, νήφοντα
πάλιν ἡ τῆς ἡμέρας φωτὶ παρεδίδουν, οἷα τὸν τοῦ σκότους Ἄρχοντα ὑπειδόμενον, μὴ IE.
καὶ καταλάβοι αὐτὸν ὕπνῳ πεπεδημένον· καὶ ἄγε τοῦτο πρὸς τὴν ἔφοδον ἐκείνου
ἐγρηγορέναι. Ὕπνος γὰρ αὐτῷ καὶ λίαν βραχὺς ἐξήρκει, παραγενόμενος μόνον,
οὐκ εἰς τρυφὴν αὐτῷ χρώμενος· καὶ τοσοῦτος, ὅσον αὐτοῦ διακρατεῖν ἀναγκαίως καὶ
συνέχειν τὸ σῶμα τοῖς πολλοῖς ἱδρῶσι καὶ πόνοις χαυνούμενον. Ἐποίει γὰρ φεύ-
γειν αὐτοῦ τοὺς ὀφθαλμοὺς τὸν ὕπνον, πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ χαμευνίαι, K.
πληροφορίαι, καὶ ἡ παντοδαπὴ τοῦ σώματος τῆξις ἐκείνη καὶ κάκωσις. Ἀκτημο-
σύνης δὲ τοσοῦτος αὐτῷ συνελέχθη πλοῦτος, ὥστε καὶ μαρτυρεῖ ἐπ' αὐτῷ τὸ οἰκεῖον
στόμα παραλαβεῖν, καὶ τὰ πρὸς τοῖς ἐσχάτοις ἀναπνοαῖς αὐτοῦ ῥήματα, ὧν οὐδὲν
ἀξιοπιστότερον, ἢ ἀληθέστερον. ἔχει δὲ οὕτως. οὐχ ὑπῆρξε τῷ Ἐφραὶμ ποτε βα-
λάντιον, οὐ ῥάβδος, οὐ πήρα, οὔτε μὴν ἀργύρεον, οὔτε χρυσίον· ἀλλ' οὐδέ τινα κτῆ- KE.
σιν ἐπὶ τῆς γῆς ἐκτήσατο. Τοῦ γὰρ ἀγαθοῦ Βασιλέως ἤκουσε, φησὶ, ἐν τοῖς εὐαγ-
γελίοις τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιτάττοντος, Μηδὲν ἐπὶ τῆς γῆς κτήσησθε. ὅθεν οὐδὲ
ἐμπαθῶς *ἔχειν τι τούτων. Οὕτως ἐπεδέξατο πάντα τῷ διδασκάλῳ, καὶ ζηλωτὴς ὄν-
τως καὶ μιμητὴς τῶν τρόπων ἐκείνου μαθητὴς ἐδείκνυτο. Ταπεινοφροσύνην δὲ, ὢ
συντετριμμένη καρδίας, καὶ μετριότητα, τίς οὕτω πολὺς ἀεὶ, καὶ θερμὸς καὶ αἱμηρός; Λ.
ὡς σποδὸν μὲν ὡσεὶ ἄρτον ἐσθίειν, τὸ πόμα δὲ κλαυθμῷ συγκιρνᾶν, καὶ πρὸς μὲν
ἐπαίνους λίαν εὐλαβῶς ἔχειν, καὶ τοὺς εὐφημοῦντας αὐτὸν οὐ μόνον οὐκ προσίεσθαι,
ἀλλὰ καὶ φανερῶς αὐτοῖς ἄχθεσθαι, ὥσπερ τοῖς κωμῳδοῦσιν ἑτέρας καὶ λοι-
δορουμένοις· ἐρυθριᾶν τε, καὶ εἰς γῆν βλέπειν, καὶ χρόαν μὲν ἄλλοτε ἄλλην
τῆς ὄψεως ἀμείβειν· ἱδρῶτι δὲ λεπτῷ στάζεσθαι, καὶ παντελῶς ἄφωνον μένειν, ΛE.
καθάπερ τῆς αἰσχύνης αὐτῷ τὴν φωνὴν ἐπισχούσης. καὶ τοῦτο δὲ τῆς πολλῆς αὐτοῦ
ταπεινοφροσύνης ἴδιον. Ἤδη γὰρ μέλλων ἀποθνῄσκειν, τοιαῦτα μετὰ σφοδρᾶς ἐπι-
τιμήσεως διεσκήπτων ἦν· Μὴ ᾄσματα ᾄσμα ἐπὶ Ἐφραὶμ, μὴ ἐγκωμιάσητε,
μὴ πολυτελεῖ ἐνταφιάσητε ἱματισμῷ, μὴ ἐπὶ τῷ σώματί μου τάφον ἐργάσασθε,
λόγον γὰρ ἔχω, μετὰ Θεοῦ, συνδιαιτηθῆναί μοι σὺν τοῖς ξένοις. ξένος εἰμὶ, καὶ παρ- M.
επίδημος, καθὼς πάντες οἱ πατέρες μου. Φιλανθρωπίας δὲ, καὶ πτωχοτροφίας,
καὶ τῆς πρὸς τοὺς πένητας οἰκτιρμοῦ τοσοῦτος αὐτῷ λόγος, καὶ οὕτω τῆς ἐκείνων ἀντείχετο

Ματθ. I, θ.
Λυκ. Θ, γ.
* ἄλλως, ἔχειν.

Ψαλμ. Λθ, ιζ.

παρεσκεύαζεν, ὃ ἐπειδὴ δικαίως οὐκ εἶχε μεταδιδόναι (πόθεν; ὅς γε καὶ αὐτὸς ἀπόρει τὴν ἀναγκαίαν) ἃ μόνον εἶχε, ταῦτα παρὰ τὴν αὐτὴν παρείχετο συντυχίαν καὶ τὴν τῆς γλώττης σοφίαν καὶ τὴν διάνοιαν, πολλοῖς τὴν πλουσίαν καὶ χεῖρας καὶ σπλάγχνα, καὶ ταμιεῖα φημὶ διανοίξαντας, ἀφθόνως δι' αὐτὴν ἐχορήγει τοῖς δεομένοις. Ἡ γὰρ

E. οὐκ ὁ λόγος τοῦ ἀνδρὸς μόνος οἷος ψυχὰς μεταλλάξαι, καὶ πεῖσαι πρὸς ἔλεον· ἀλλὰ καὶ αὐτὴ ἡ ὄψις, καὶ τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον, πολλάκις δὲ καὶ * αὐτὸ τὸ βλέψαι πρὸς τὰς τῶν ἄλλων ψυχὰς ἱκανὸν πρὸς κατάνυξιν. Καὶ ταῦτα μὲν δὴ τοιαῦτα, καὶ οὕτως εἰς τὸ ἀκρότατον ἐπὶ πάσης ἀρετῆς ἀφιγμένα. Τοῦ δὲ κατὰ Θεὸν ζήλου, καὶ τῆς ὑπὲρ τῆς ὀρθοδοξίας ἰσχύος πολλὰ μὲν αὐτοῦ καὶ ἄλλα γνωρίσματα. ὁ δὲ νῦν *ἴσως, αὐτόν.*

I. ὁ λόγος εἰπεῖν ὑποβάλλει, καὶ πρὸς ὃ φέρει λοιπὸν ἡ ἀκολουθία τοῦ διηγήματος, μέγιστον ἁπάντων καὶ χαριέστατον. Ἔχει δὲ οὕτως. Ἀπολλινάριος, ὁ πολλὴν μὲν εἰς τὸ ὕψος ἀδικίαν λαλήσας καὶ μελετήσας, πάντα δὲ καὶ ποιεῖν καὶ λέγειν ἐπὶ διαστροφῇ τῶν ὀρθῶν δογμάτων μεμαθηκώς, πολλὰ περὶ τὴν ἀληθῆ πίστιν καινοτομήσας, κατ' αὐτὴν ἐγγαστριμύθους, καὶ αὐτὸν ἀπὸ τῆς γῆς φωνοῦντας, ὡς καλῶς τὸ μεγάλῳ

IE. περὶ τούτων Ἠσαΐᾳ δοκεῖ, καὶ ἀπὸ θελήματος οἰκείου φθεγξάμενος, καὶ ταῦτα δυσὶ *Ης. 18, γ.* βιβλίοις συντάξας, γυναικί τινι πιστεύει τινὰ, ἡ τῇ ἐκείνου γνώμῃ καὶ ταῖς ἡδοναῖς δουλεύειν ἐλέγετο. Τοῦτο οὖν μαθὼν ὁ Ἐφραὶμ, καὶ θέρμα οἰκεῖον εἶναι τὸ πρᾶγμα νομίσας οὐχ ἁπλῶν, ἀλλὰ τέχνης δεόμενον καὶ σοφίας, καθυποπτεῖον ἑνὸς ὑπάρχει τὴν τὰ ἐκείνου φρονούντων, καὶ τῇ τῶν βιβλίων φύλακι προσέσχεν. Τοῦτο μὲν, εὐλόγως

K. αὐτῇ ἐλθεῖν ἀπὸ τῆς ἐρήμου κομίζων· τοῦτο δὲ, καὶ οἰκειῶν ἑαυτὸν εὐτέχνως πρὸς τὴν γυναῖκα, καὶ συνήθης αὐτῇ γινόμενος, καθάπερ κοινωνίαν ἔχουσι πρὸς αὐτὸν καὶ τρόπον καὶ διδασκάλου. Ἐπειδὴ δὲ καὶ ἡ γυνὴ καλῶς εἶχεν αὐτῷ καὶ τὸ δρᾶμα τῆς ὑποκρίσεως, καὶ πέπεισο ἤδη παντελῶς ἡ γυνὴ μαθητὴν αὐτὸν εἶναι σαφῶς Ἀπολλιναρίου, καὶ τῶν περὶ ἐκεῖνον τῆς ἀσεβείας χορῶν, δέεται περὶ τὴν βίβλων τῆς γυναικὸς,

KE. ὥς τι δῶθῆναι αὐτῷ τὰ τοῦ διδασκάλου ἀπογεγραμμένα, ὅπως ἔχοι, φησὶν, τοῖς αἱρετικοῖς (οὕτως ἡμᾶς οὗτοι τῆς ὀρθοδόξου μοίρας ἀποκαλοῦσι) εὐπετῶς ἄγαν συμπλέκεσθαι. Ἡ δὲ τῇ σοφῇ ταύτῃ καὶ πιθανῇ τέχνῃ δελεασθεῖσα ἐγχειρίζει τὰς βίβλους αὐτῷ, ταχεῖαν μόνον εἰποῦσα γενέσθαι πάλιν αὐτὴν τὴν ἀπόδοσιν. Ὁ μὲν οὖν μέγας Ἰακὼβ ἐπὶ τὴν βίβλον ταύτην πληρώσας Ἠσαῦ, καὶ τὰ πονηρὰ πρωτοτόκια

Λ. τῆς ἐκείνου κακίας ἐγχειρισθεὶς, ἐπέξεισι γενναίως τὸ ἀλλότριον, καὶ τὸ τοῦ λόγου παλαίει καλῶς τὴν ἀλώπεκα. Ὅρα γάρ μοι τοῦ σοφοῦ τὴν ἐπίνοιαν, καὶ ὅπως τηλικαύτην ψυχῆς πανουργίαν καὶ ποικιλίαν καταισοφίζεται. Τὸ μὲν οὖν πρὸς λόγους χωρῆσαι καὶ ἀντιθέσεις, καὶ γλῶτταν αὐτοῖς ἐπαφεῖναι, λῦσαι πάντα καὶ ἀνατρέψαι λίαν εὐχερῶς δυνάμενον, οὐ πάνυ πρόχειρον ἦν αὐτῷ· ἀλλὰ καὶ χρόνου συχνοῦ

ΛE. δεόμενον καὶ πόνου. Τοῦτο δὲ τοῦ καιροῦ τηνικαῦτα μὴ ἐπιτρέποντος, (ἐπέκειτο γὰρ ἡ γυνὴ σφοδρῶς ἀπαιτοῦσα τὰς βίβλους) ἐπ' ἄλλην τρέπεταί τινα μηχανὴν, πολὺ σὺν τῷ τάχει καὶ τὸ δραστήριον ἔχουσαν. Ἀναπτύξας γὰρ τὰ βιβλία, καὶ τὴν φύλλων ἕκαστον διελὼν, ἰχθύος τε κόλλῃ τὸ πᾶν ἱκανῶς διαχρίσας, εἶτα θάτερον θατέρῳ συμπτύξας, καὶ μέχρι πολλοῦ τῇ χειρὶ ταῦτα συνέχων τε καὶ ἐπισφίγξας, ὡς

M. ἓν πάντα γενέσθαι τῇ πρὸς ἄλληλα ἀκριβεῖ συναφείᾳ, καὶ μηδὲν ἕτερον τοῦ ἑτέρου διασπᾶσθαι δύνασθαι, ἢ ὁπωσοῦν ἀπορραγῆναι, τῇ γυναικὶ ἀποδίδωσιν. Ἡ δὲ ἀπολαμβάνει ταῦτα, μηδὲν περιεργασαμένη, μηδ' ἀναπτύξασα, πλὴν ὅπως

ὑγιῶς εἶχεν τὰ ἔξω, τοῦτο μόνον ἐπ᾽ αὐτοῖς ἀρκεσθεῖσα. Χρόνον μὲν οὖν ὅσον τινὰ κατεῖχε ταῖς βίβλοις παρ᾽ ἑαυτῇ. Ἔπειτα καλεῖται μὲν ὑπὸ τῶν ὀρθοδόξων Ἀπολλινάριος. Τοῦ θείου δὲ τοῦτο Ἐφραὶμ, καὶ τῆς διὰ Χριστὸν ἀμεμηχανήσεως καὶ ἀξυνέτης ψυχῆς ἐκείνης ἀποβολή· ᾔδει γὰρ ὁ μετὰ τὴν εἰκοσίαν ἐκείνων καὶ μιαρῶν βίβλων εἰργαστο. Καλεῖται τοίνυν Ἀπολλινάριος, ὡς τῷ γνησίῳ προεστῶτι τοῦ λόγου διαλεξόμενος. Ὁ δὲ καὶ γηραιὸς ἤδη, καὶ τοῖς ἐκ τοῦ γήρως κάμνων κακοῖς, αὐτὸς μὲν ἀπηγόρευκε τὴν διάλεξιν· αὐθὺς δὲ πρὸς τὰς οἰκείας ἔβλεψε βίβλους, καὶ ταύτας αὐτῷ κομισθῆναι προστάττει· αὗται γάρ μοι, φησὶν, ὅσα καὶ στόμα τῷ λόγῳ διακονήσουσιν. Ἀμέλει καὶ τὴν βίβλον τὴν ἑτέραν λαβὼν, ὁ μὲν ἀναπτύσσειν αὐτὴν, περὶ αὐτάς που τὰς ἀρχὰς τῆς συγγραφῆς μετὰ πολλοῦ τοῦ φρονήματος ἐπειρᾶτο. ὡς δ᾽ οὐχ ὑπήκουεν ἐκείνη τὸ παράπαν, οὐδὲ τὸ φύλλον τινὰ διεσπᾶτο, ἀλλ᾽ ἑαυτῆς εἴχετο μᾶλλον καθάπερ ἓν σῶμα γεγενημένη, περὶ τὰ μέσα ταύτης μετέβαινεν. ἐπεὶ δὲ κἀνταῦθα διημάρτανε τῆς ἐλπίδος, τὴν τοιαύτην βίβλον ἀφεὶς, μετελάμβανε τὴν ἑτέραν. ὡς δὲ κἀκείνη λοιπὸν εἶχε παραπλησίως, ἀδιαίρετός τε ἦν αὐτὴ ἑαυτῆς, καὶ παντελῶς ἀδιάσπαστος, εἰς πολλὴν καταστὰς ἀπορίαν, ὁπότε τὴν ψυχὴν πληρωθεὶς, ὑπὸ τοῦ τῆς ἀθυμίας ἐκείνης καὶ τῆς αἰσχύνης ἰλίγγου, καὶ ὡς περὶ τὰ πάθη παρατραπεὶς, ἀναπηδᾷ τοῦ συνεδρίου, κατέχειν ἑαυτὸν ὅλως δυνατὸς οὐκ ὤν· καὶ τέλος, κακῶς ἀπόλλυται καρπὸν τῶν οἰκείων πόνων, καὶ βίβλων ἀμήσους θάνατον. Τοιοῦτος ἦν καὶ ὁ ὑπὲρ Χριστοῦ ζῆλος Ἐφραὶμ, καὶ οὕτως εἰς τὴν ἐκείνου ψυχὴν ἀρετὴ πᾶσα πεφύτευτο, ὥστε πηγὴν ἄν τις αὐτὴν εἰκότως καλέσειε παντοδαποῖς νάμασι βρύουσαν, ἢ λειμῶνα ποικίλοις ἄνθεσι καὶ ῥόδοις κομῶντα, ἢ καὶ οὐρανὸν ἐπὶ γῆς ἄλλον διὰ τῶν ἀστέρων πλήθη πάντοθεν ποικιλλόμενον· εἰ βούλει δὲ, καὶ παράδεισον, οἷον τὸν τῆς Ἐδὲμ, ἀκήρως ἀκμάζοντα, καὶ φαιδρὸν ἀεὶ, καὶ μηδέποτε μαραινόμενον· ἀλλὰ φυτοῖς ἐγκάρποις καὶ ἀκηράτοις ἀεί ποτε θάλλοντα. πλὴν ὄφει μόνον τὸ παράπαν ἄψαυστόν τε καὶ ἀνεπίβατον τῷ πονηρῷ καὶ βασκάνῳ, καὶ τῆς σωτηρίας ἐπιβούλῳ τῆς ἡμετέρας. Ἀλλ᾽ ἤδη μοι πρὸς τὸ τέλος ὁρᾷ τὰ κατὰ τὸν Ἐφραὶμ διηγήματα. Διὸ καί τι τῶν περὶ τὴν ἐκείνου τελευτὴν διεξελθεῖν ἀναγκαῖον, καὶ ὃ μάλιστα τῆς ἐκείνου αὐτῷ χάριτος τὴν περιουσίαν ἱκανὸν παραστῆσαι. Ἤδη μὲν γὰρ τὴν ἐσχάτην ἀπαίρειν ἔμελλεν ἐκδημίαν· τὰ τελευταῖα δὲ τοῖς παροῦσι παρηγγυᾶτο μὴ πολυτελεῖ αὐτὸν ἐσθῆτι συνθάψαι, καθάπερ προσλαβὼν ὁ λόγος ἐδήλωσεν. εἰ δέ τις, φησὶν, φιλοπάτωρ ὤν, τοιαύτην ἡμῖν ἐσθῆτα προητοιμάσατο, τὴν ὁρισθεῖσαν ταύτην ἐκεῖνος εἰς ταφὴν δότω τοῖς δεομένοις. Καὶ τοιαῦτα μὲν ἐκεῖνος πρὸς τοὺς περιεστῶτας ἐπισκήπτων ἦν. Εἷς δέ τις αὐτῶν, καὶ τοῦτο τῶν ἐπιφανεστέρων, καὶ θερμοτέρων ἐσθῆτα πολυτελῆ καὶ φιλότιμον ἑτοιμάσας, περιβάλλειν αὐτῇ τὸ ἐκείνου σῶμα μετὰ θάνατον διεσκόπει· ἔπειτα τῆς ἐντολῆς ἀκούσας ἤλγει τε μᾶλλον, ὡς τὸ θέλημα καὶ τὴν πρόθεσιν ἀνασκευασθείς· καὶ διὰ τοῦτο δοκοῦσαν πεῖσιν αὐτὴν ἀνεβάλλετο, βέλτιον εἶναι κρίνας χρυσίον μᾶλλον ἐκείνοις καταβαλεῖν, ὅσου δὴ ἡ ἐσθὴς ἐτιμᾶτο· ἀγνοίᾳ ὡς ἔοικεν ἀγνοήσας, ὅτι πολλῷ μᾶλλον οὕτως ἐφάνη διὰ τὸν Ἐφραὶμ χαριζόμενος πένησι δοὺς, ἢ θελήματι ἰδίῳ καὶ κρίσει στοιχῶν. Ταύτῃ τοι καὶ παθὼν ἔγνω, καὶ τῆς παρακοῆς εὐθὺς ὑπέσχε τὴν τιμωρίαν, πονηρῷ πληγεὶς Δαίμονι, καὶ λογισμῶν μόνον οὐχὶ πράξεως κόλασιν εἰσπραχθείς. Ὅθεν καὶ τῇ τοῦ ἁγίου κλίνῃ, μεταξὺ πάντων ὁρώντων, ἑαυτὸν προσερρίπτει, στρεβλῶν τὰς χεῖ-

ρας, καὶ καταστρέψαι τὸν ὀφθαλμὸν, ἀφορῶν ἀπολλύων τοῦ γάμιαντος, καὶ τὴν ἄλλην ὅσα κατὰ μικρὸν τῆς μανίας ἔργα ποιῶν, διὰ τέρας λόγους εἰκονομίας τέτως παραδοθεὶς εἰς παιδείαν, καὶ παιδευθεὶς, μᾶλλον παρ' ἐξουσίας ἠκόγησεν ἐντολῆς. Τί οὖν; Ὁ τὰ κεκρυμμένα διαγνοὺς, ἐκεῖνος καὶ τῷ Πνεύματι τῷ θείῳ φθεγγόμενος, συνῆκε τὸ πάθος, ἁμαρτίας ὂν καρπόν· καὶ, τί σοι μὴ δεόντως πέπρακται, φησὶν, ἄνθρωπε, ὅτι σε καὶ εἰς τηλικοῦτον ἔθηκε κίνδυνον; Καὶ ὃς τῆς μανίας ἀνενεγκὼν, ἐξαγορεύει τὴν ἀνομίαν, ἐκκαλύπτει τὴν παρακοὴν, ἐλέγχει τὴν τῶν λογισμῶν ἀσθένειαν. Ὁ δὲ θεῖος Ἐφραὶμ, τοῦ τε πάθους οἰκτείρας, καὶ ἀποδεξάμενος τῆς ἐξαγορεύσεως, εὐχῇ μόνῃ καὶ χειρῶν ἐπιθέσει τοῦ Δαίμονος ἀπαλλάττει, πληρῶν αὐτῷ τὴν ὑπόσχεσιν κατὰ τὴν ἐντολὴν ἐπιστρέψας. Οὕτως οὖν ὁ ἱερὸς Ἐφραὶμ ἐπὶ τέλει τοῦ βίου, καὶ τηλικούτῳ θαύματι τοὺς ἄνω προσαξίως ἀποσφραγίσας, ἔπειτα δὲ καὶ παραινέσας τοῖς παροῦσι, καὶ συμβουλεύσας, καὶ ὑποθεὶς, καὶ ῥυθμίσας αὐτοὺς πρὸς ἀρετῆς ἐργασίαν διαναστήσας, πρὸς τὰς ἐκεῖθεν σκηνὰς διαβαίνει, καὶ τὴν ἐκδεχομένην τοὺς τοιούτους λαμπρότητα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, τιμὴ, καὶ κράτος, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ.

[ΑΝΩΝΥΜΟΥ.]

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Ἐφραὶμ ἦν ἐξ ἀνατολῶν, Σύρος τῷ γένει, γονέων θεοσεβῶν, γεννηθεὶς ἐν * Ἐδέσῃ ὑπάρχων ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως καὶ τῶν ἀπ' αὐτοῦ βασιλευσάντων, ἀπεχόμενος παιδόθεν ἀπὸ παντὸς πονηροῦ πράγματος. Οἱ οὖν γονεῖς αὐτοῦ ἔτι παιδίου ὄντος εἶδον ὄναρ ἤγουν ὀπτασίαν, ὅτι ἀνῆλθεν ἄμπελος ἐν τῇ γλώσσῃ αὐτοῦ τοῦ Ἐφραὶμ, καὶ ηὔξησε, καὶ ἐπλήρωσε πᾶσαν τὴν ὑπ' οὐρανόν· καὶ ἤρχοντο πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤσθιον ἐκ τοῦ καρποῦ τῆς ἀμπέλου· καὶ πρὸς ὃ ἤσθιον, ἐπλεόναζεν ὁ καρπός. Οὗτος ἐκ νέας ἡλικίας ᾤκησε τὴν ἔρημον, κατανύξεως ἄβυσσον κεκτημένος, δι' ἧς ἐδέξατο τὴν χάριν τοῦ παναγίου Πνεύματος. Περὶ οὗ, τὶς τῶν θεοφόρων κατ' ὄναρ τεθέατο ἄνδρας φοβεροὺς κρατοῦντας τόμον χάρτου, καὶ διερωτῶντας· Τίς ἄρα δύναται αὐτὸν δέξασθαι καὶ φυλάξαι; Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἄλλος οὐδεὶς, ἀλλ' ἢ Ἐφραὶμ ὁ θεράπων μου. Οὗ τινος παρεστῶτος, καὶ ἀνοίξαντος τὸ στόμα, καὶ τούτου καταφαγόντος, εὐθέως ἔβρυσε ποταμὸς * θεοῤῥύτων λόγων, πλήρης κατανύξεως καὶ μετανοίας, ἱστορήσας καὶ τὸν φόβον τῆς κρίσεως καὶ τῆς μετὰ δόξης δευτέρας ἐλεύσεως τοῦ παμβασιλέως τῶν ὅλων, δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ὅπως ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Πρὸς τούτοις καὶ τῶν θείων δογμάτων τὴν ὀρθότητα γράμμασιν ἀνέθηκεν. Ἄλλος δὲ πάλιν τις τῶν ἁγίων γερόντων εἶδεν, ἐν ὁράματι, ἀγγέλων τάγματα ἐκ τοῦ οὐρανοῦ κατερχόμενα κατὰ πρόσταξιν τοῦ Θεοῦ, ἔχοντα ἐν χερσὶ κεφαλίδα, τουτέστι τόμον γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν· καὶ ἔλεγον πρὸς ἀλλήλους·

ἴσως, Ἐδέσσῃ.

ἴσ. μακαρίου.

ἴσ. θεοβλύτων.

ἴσως, φρίκης.

Τίς ὀφείλει τοῦτο ἐγχειρισθῆναι; Οἱ μὲν ἔλεγον ὁ δεῖνα. Οἱ δὲ, ὁ δεῖνα. Ἀπεκρίθησαν δὲ ἄλλοι, καὶ εἶπον· ἀληθῶς ἅγιοί εἰσι καὶ δίκαιοι, πλὴν οὐδεὶς δυνάμεται τοῦτο ἐγχειρισθῆναι, εἰ μὴ Ἐφραὶμ ὁ πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ. Καὶ ἰδὼν ὁ γέρων, ὅτι τῷ Ἐφραὶμ ἐπεδόθη ἡ κεφαλὶς. Καὶ ἀναστὰς τὸ πρωῒ, ἤκουσεν ὥσπερ πηγὴν βρύουσαν ἐκ τοῦ στόματος αὐτοῦ, πρὸς ὃν καὶ ἔλεγε, καὶ συντρέχοντος λόγους διδασκαλικοὺς πάσης κατανύξεως καὶ φόβου Θεοῦ ἀπαρχοντας. Καὶ ἔγνω, ὅτι ἐκ Πνεύματος ἁγίου εἰσὶ τὰ ἐκπορευόμενα διὰ τοῦ στόματος αὐτοῦ. Πρὸς ὃν προφάσει ἐκεῖνος γέρων εἶπεν· *Κύριε Ἐφραὶμ, πολλάκις παρακαλούμενος ὑπὸ τῶν πατέρων συντάξαι λόγους, εἰς μνημόσυνον σε, καὶ εἰς οἰκοδομὴν πολλῶν, οὐκ ἐπένευσας· καὶ νῦν *ἠυτοβάλησας πρὸς ταύτης ἐγχειρήσεως. Ὁ δὲ ἅγιος Ἐφραὶμ ἀποκριθεὶς, εἶπε· πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις, λέξας ὁ Ἀπόστολος. κἀγὼ ὅτε παρ' ὑμῶν παρῃνέμην, οὐκ ἐπένευσα, διὰ τὸ μὴ ἔχειν με τὸ ἀσφαλὲς νυνὶ δὲ ὅτι ἡ θεία χάρις ἐπεσκίασεν ἐπὶ τὴν ταπείνωσίν μου, τὸ νωθρὸν καὶ † κεχαυνωμένον ἀφῃρέθη ἀπ' ἐμοῦ, καὶ πρόθυμος καὶ ὀξυδερκὴς ἐγκεχείρισμαι ταῦτα. Τότε εἶπεν ὁ γέρων πρὸς αὐτόν· μακάριος εἶ σὺ, ὡς ἐκ χειρὸς ἀγγέλου τὴν κεφαλίδα δεξάμενος τὴν ἔχουσαν ἐγγεγραμμένην ἔσωθεν καὶ ἔξωθεν θείαν σοφίαν, ὅπερ τοῖς ὀφθαλμοῖς μου τεθέαμαι τῇ νυκτὶ ταύτῃ. Ἐπεθύμησε δὲ οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Ἐφραὶμ θεάσασθαι *Ἔδεσαν τὴν πόλιν. καὶ ηὔξατο τῷ Θεῷ, λέγων· Κύριε Ἰησοῦ Χριστὲ, ἀξίωσόν με θεάσασθαι τὴν πόλιν ἐκείνην. Καὶ εἰσερχομένου ἐν αὐτῇ, τοιούτῳ ἀνθρώπῳ κέλευσον με συναντῆσαι, ὅστις ὀφείλει ἀπὸ γραφῆς διαλεχθῆναι μετ' ἐμοῦ. Καὶ εἰσελθόντος αὐτοῦ ἐπὶ τὸν τόπον, καὶ διερχομένου τὴν πύλην τῆς πόλεως, ἀπήντησεν αὐτῷ γυνὴ, ἥτις ἦν πόρνη ἐν τῇ πόλει. καὶ ἰδὼν αὐτὴν ὁ δοῦλος τοῦ Θεοῦ Ἐφραὶμ, ἔστη λυπούμενος, καὶ λέγων ἐν ἑαυτῷ· Κύριε Ἰησοῦ Χριστὲ, παρεῖδες τὴν δέησιν τοῦ δούλου σου Ἐφραίμ. πῶς γὰρ αὕτη ἔχει γραφικῶς διαλεχθῆναι μετ' ἐμοῦ. Ἔστη δὲ ἡ πόρνη θεωροῦσα αὐτόν. καὶ λέγει πρὸς αὐτὴν ὁ ὅσιος Ἐφραὶμ, εἰπὲ, κοράσιον, τί ἵστηκεις καὶ θεωρεῖς με; Ἀποκριθεῖσα δὲ ἡ πόρνη, λέγει πρὸς αὐτόν· Θεωρῶ σε ὅτι ἐγὼ ἡ γυνὴ ἐκ σοῦ τοῦ ἀνδρὸς ἐλήφθην. σὺ δὲ ἐμὲ μὴ θεώρει, ἀλλὰ τὴν γῆν, ἐξ ἧς σὺ ὁ ἀνὴρ ἐλήφθης. Ταῦτα ἀκούσας ὁ δοῦλος τοῦ Θεοῦ Ἐφραὶμ ἐθαύμασε, καὶ ἐδόξασε τὸν Θεὸν, τὸν δόντα αὐτῇ σοφίαν τοιαύτην, ἵνα ἀποκριθῇ αὐτῷ τοιαῦτα. καὶ ἔγνω, ὅτι οὐ παρεῖδε Κύριος ὁ Θεὸς τὴν δέησιν αὐτοῦ. Καὶ εἰσελθὼν ἐν τῇ πόλει, κατεσκήνωσεν ἐκεῖ. κατὰ συγκυρίαν δὲ πλησίον τοῦ μεσαύλου αὐτοῦ ἔμενεν ἄλλη πόρνη· καὶ ποιήσαντος αὐτοῦ ἡμέρας πολλὰς ἐν τῇ πόλει, ὑπεβλήθη τῇ πόρνῃ ἐκ τοῦ Πονηροῦ, ὅπως προσλαβοῦσα σκανδαλίσῃ αὐτόν. καὶ ἀνοίξασα τὴν θύραν, ἣν εἶχεν ἐπὶ τὸ *μεσαύλιον παρέκυψε· καὶ θεωρήσασα τὸν ἅγιον ἱστάμενον καὶ παύσαντα ἐψιτὸν, εἶπε πρὸς αὐτόν· εὐλόγησον, κύριε ἀββᾶ. Καὶ ἀτενίσας εἰς τὴν θυρίδα, βλέπει αὐτὴν παρακύπτουσαν· καὶ λέγει αὐτῇ· ὁ Κύριος εὐλογήσαι σε. Καὶ ἀποκριθεῖσα ἐκείνη, ἔφη αὐτῷ· τί λείπει τοῦ *φραγμοῦ σου; Καὶ εἶπεν αὐτῇ ὁ ἅγιος Ἐφραίμ· τρεῖς λίθοι, καὶ ὀλίγον πηλὸς, ἵνα ἡ θυρὶς ἀναφραγῇ, ὅθεν παρακύπτεις. Καὶ ἀποκριθεῖσα ἐκείνη λέγει πρὸς αὐτόν· ἐπειδὴ πρώτη πρὸς σὲ ἐλάλησα, ἀπενοήθης μοι; ἐγὼ κοιμηθῆναι βούλομαι μετὰ σοῦ, καὶ σὺ ἀπὸ ψιλοῦ ῥήματος ἀπεστράφης; Ἀποκριθεὶς δὲ ὁ δοῦλος τοῦ Θεοῦ Ἐφραὶμ, λέγει πρὸς αὐτήν· ἐὰν θέλῃς κοιμηθῆναι μετ' ἐμοῦ, ὅπως λέγουσα, ἔλθε κἀκεῖ

Κύριε.

ἴσ. εὐχολόγησας.

Πράξ. Ε, κθ.

ἴσ. Ἔδεσσαν.

ἴσως, Ἐδέσσ.

ἴσ. μεσαύλιον.

ἴσως, φραγμοῦ.

[illegible] Ἀπαντήσασα δὲ ἡ πόρνη λέγει αὐτῷ [illegible] [illegible] ἐν τῇ μέσῃ τῆς πόλεως; [illegible] λέγει πρὸς αὐτὴν [illegible] οὐκ αἰσχυνόμεθα τοὺς ἀνθρώπους; [illegible] Ἐφραὶμ εἶπεν· εἰ τοὺς

Ε. ἀνθρώπους αἰσχυνόμεθα, πολλῷ μᾶλλον τὸν Θεὸν αἰσχυνθῆναι δεῖ ἡμᾶς καὶ φοβηθῆναι τὸν γινώσκοντα τὰ κρυπτὰ τῶν ἀνθρώπων, ὅτι αὐτός ἐστιν ὁ μέλλων κρίνειν τὸν κόσμον, καὶ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ταῦτα ἀκούσασα ἡ πόρνη κατενύγη ἐπὶ τοῖς λόγοις αὐτοῦ, καὶ ἐλθοῦσα προσέπεσε τοῖς ποσὶν αὐτοῦ, κλαίουσα καὶ λέγουσα· δοῦλε τοῦ Θεοῦ, ὁδήγησόν με ἐν τῇ ὁδῷ τῆς σωτηρίας, ὅπως ῥυσθῶ ἐκ τῶν

Ι. πολλῶν μου κακῶν καὶ πονηρῶν μου πράξεων. ὁ δὲ ἅγιος γέρων πολλὰ νουθετήσας αὐτὴν ἐκ τῶν ἁγίων γραφῶν, καὶ στηρίξας αὐτῆς τὴν καρδίαν, ἔβαλλεν αὐτὴν εἰς μοναστήριον, καὶ ἔσωσεν αὐτῆς τὴν ψυχὴν ἐκ τοῦ βορβόρου τῶν ἀνομιῶν αὐτῆς. Καὶ ἐξελθὼν ἐκ τῆς πόλεως ἐκείνης, ἦλθεν εἰς Καισάρειαν τῆς Καππαδοκίας, καὶ ἐλθὼν εἰς τὴν ἐκκλησίαν, εὗρε τὸν ἅγιον Βασίλειον τὸν ἀρχιεπίσκοπον προσομιλοῦντα τῷ

ΙΕ. λαῷ· καὶ ἤρξατο ὁ πανόλβιος Ἐφραὶμ μεγάλῃ τῇ φωνῇ εὐφημεῖν αὐτόν. Ἔλεγον δέ τινες ἐκ τοῦ ὄχλου· τίς ἐστιν οὗτος ὁ ξένος, ὅτι οὕτως ἐπαινεῖ τὸν Ἐπίσκοπον· ὡς μᾶλλον ἐγκωμιάζει αὐτόν, ἵνα χαρίσηται αὐτῷ τι. Μετὰ δὲ τὸ πληρωθῆναι τὴν προσομιλίαν, λέγει ὁ ἅγιος Βασίλειος· καλέσατέ μοι τὸν ἄνθρωπον, ὅς τις ἐπέμεινεν εὐφημῶν με. Καὶ κληθέντος αὐτοῦ, λέγει αὐτῷ· τί οὕτως ἐπιμόνως ἔκρα-

Κ. ζες εὐφημῶν με, καὶ θόρυβον ποιῶν; Ἀποκριθεὶς δὲ ὁ ἅγιος Ἐφραὶμ εἶπεν· ἐν τούτῳ ἐπέμενον κράζων, καὶ εὐφημῶν σε, ὅτι ἐθεώρουν περιστερὰν ἄσπιλον ἑστῶσαν εἰς τὸν δεξιόν σου ὦμον, καὶ πρὸς τὸ οὖς σου λαλοῦσαν· καὶ οὕτως τῷ λαῷ προσομιλεῖς. Καὶ πλησθεὶς Πνεύματος ἁγίου ὁ μέγας Βασίλειος, ἐπέγνω αὐτόν, καὶ λέγει αὐτῷ· Σὺ εἶ Ἐφραὶμ ὁ Σύρος; Ἐν ἀληθείᾳ, καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐπὶ

ΚΕ. σοι, τῆς ἡσυχίας ἐραστά. γέγραπται πού ἐν τῷ προφήτῃ Δαυΐδ· Ἐφραὶμ κρα- Ψαλμ. ξ, ζ.
ταίωσις τῆς κεφαλῆς μου. ἡ γὰρ πραότης σου καὶ ἡ ἁπλότης πρόδηλός ἐστιν, ὡς φῶς φαῖνον τοῖς πᾶσιν. Ἄλλοτε πάλιν παριόντος τοῦ μακαρίου Ἐφραὶμ, ἐξ ὑποβολῆς τινος ἔρχεται μία ἑταιρὶς κολακεύουσα αὐτὸν εἰς αἰσχρὰν μῖξιν ἑλκύσαι· εἰ δὲ μήγε, κἂν εἰς ἀγανάκτησιν κινῆσαι, ὅτι οὐδέποτε εἶδεν αὐτόν τις ὀργιζόμενον.

Λ. καὶ λέγει πρὸς αὐτήν· ἀκολούθει μοι. Πλησιάσας δὲ τόπῳ τινὶ πολυοχλουμένῳ εἶπεν αὐτῇ· ἐν τῷ τόπῳ τούτῳ, δεῦρο, καθὼς θέλεις, ποιήσωμεν. Ἐκείνη δὲ θεασαμένη τὸν ὄχλον, λέγει αὐτῷ· πῶς δυνάμεθα ὧδε ποιῆσαι τοῦτο, τοσούτου ὄχλου ἑστῶτος ὧδε αἰσχυνόμεθα. Καὶ λέγει αὐτῇ· εἰ ἀνθρώπους αἰσχύνῃ, πόσῳ μᾶλλον ὀφείλομεν αἰσχύνεσθαι τὸν Θεὸν τὸν τὰ κρυπτὰ τοῦ σκότους ἐλέγχοντα; Ἡ δὲ ἐντρα-

ΛΕ. πεῖσα ἀπῆλθεν ἄπρακτος, μὴ ἰσχύσασα μηδὲ κἂν εἰς ὀργὴν αὐτὸν κινῆσαι. Ταῦτα τὰ ἆθλα τοῦ μεγάλου Ἐφραίμ. Ἀνὴρ γὰρ ὑπῆρχεν ἀνεξίκακος, πρᾶος, ἄκακος, ἐν γνώσει θείᾳ ὡς ἄπλαστος. κατὰ τὸ γεγραμμένον· κατηφὴς, ταπεινόφρων, κατανυκτικὸς ὑπὲρ φύσιν, ὡς καὶ σιωπῶντος αὐτοῦ διδάσκειν ἐκ τῆς ὄψεως τοὺς ὁρῶντας αὐτόν, ὅλως ὑπάρχων συνεχὴς τῇ πρὸς Θεὸν προσευχῇ. Οὗτος οὖν

Μ. ὁ ὅσιος πατὴρ ἡμῶν, ἀσκήσας καλῶς, καὶ τύπος ἐνθέου ἀρετῆς καὶ κατανύξεως γενόμενος, λόγοις τε πλείστοις διδασκαλίας ἐκθέμενος, προγνοὺς τε τὴν ἑαυτοῦ τελευτήν, συνέταξε διαθήκην πρὸς τοὺς μαθητὰς καὶ πάντας τοὺς μοναχούς, περὶ τῆς

μελλόντων ἀπαγγείλας αὐτοῖς, καὶ ἔτι ὀλίγον νοσήσας, ἐν εἰρήνῃ ἀνεπαύσατο, κηδευθεὶς ὑπὸ τῶν ἀσκητῶν τῆς ἐρήμου. Ταῖς οὖν αἰτήσεσι καὶ πρεσβείαις τοῦ ὁσίου Ἐφραὶμ Χριστὸς ὁ Θεὸς ἡμῶν καταξιώσαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς, μιμητὰς γενέσθαι τῆς ἐνθέου αὐτοῦ πολιτείας, δι' ἧς τύχοιμεν ἐλέους καὶ συγχωρήσεως τῶν ἐπταισμένων ἡμῖν ἁμαρτιῶν. Ὅτι αὐτῷ τῷ Θεῷ ἡμῶν πρέπει πᾶσα δόξα, τιμὴ, E.
καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

VARIÆ LECTIONES, ET NOTÆ.

PAG. A. [illegible]. Oratio hæc ad *Me-tebinos* monachos habita, teste Photio, Cod. 196. Certe ad alienos, non suos, locutum esse sanctum Patrem colligo ex ipsius orationis verbis, p. A. l. 7. θαυμάζω γὰρ ὑμᾶς [illegible] ἀλέσιμα [illegible]. Habetur hic sermo in duobus codd. MSStis: uno, *Laud.* C. 99, altero, *Laud.* C. 97. lin. 5, [illegible]] Cui respondet [illegible], p. Z. l. 8. 9. καὶ τοῖς [illegible] annon in textum intrusa? 27, *Vossius* forsan legit [illegible]. ibid. leg. ψυχήν.

Pag. B. 9, [illegible]] al. τῷ [illegible]. 14, al. [illegible] ειμνεῖ, ἀλλὰ πάντοτε νήφει. 15, al. [illegible]. 16, al. ἵνα μὴ [illegible]. 18, al. [illegible]. 22, al. τοῦ [illegible]. 27, al. [illegible]. 28, al. [illegible] πει αὐτὸν τοῖς. 35, al. [illegible], rectè. 40, al. μαθητὴς ἀληθινός. 42, al. [illegible] ἔχετε ἐν ἀλλήλοις.

Pag. Γ. l. 1, al. [illegible]. 10, al. ὁ [illegible]. 11, al. ὕψος. 12, al. [illegible], ὅτι [illegible] ὁ Θεὸς, καί. 18, al. τοῦ Θεοῦ, ἐχθ. 18. al. [illegible]. 20, al. [illegible]. 27, al. [illegible]. 28, al. [illegible] ἀντικειμένω, καί. 29, al. [illegible], & alibi sæpius. 30, al. [illegible]. 35, al. [illegible].

Pag. Δ. l. 1, al. [illegible]. 10, al. [illegible]. 12, al. [illegible]. 16, al. [illegible]. 17, al. [illegible]. 18, al. [illegible]. 22, al. [illegible]. ibid. al. [illegible]. 23, al. [illegible]. i. e. [illegible] pro ι frequenter scriptum. 25, al. [illegible]. 30, al. [illegible]. 32, lege ἀντίλογος. 34, [illegible] vox nova, ni potius legendum [illegible]. 42, al. ὁ ἄνθρωπος.

Pag. E. l. 6, al. [illegible] ἐν μάχαις [illegible] λογομαχίαις [illegible], rectius. ita & *Vossius* legit. 13, al. deest ὁ. 18, al. [illegible]. istud [illegible] ab ignaro lectore appositum primo ad marginem, deinde ab exscriptoribus receptum in textum. ibid. al. ὁ [illegible]. 20, Istud [illegible] est metaphrastæ, ni potius à presbyteris intrusum sit, hæc in ecclesiâ sub auctoris nomine recitantibus. 22, al. ὁ [illegible] ὑπάρχει. 29, al. [illegible], rectius. 30, al. [illegible]. 39, Pro [illegible], legendum [illegible]. 41, al. [illegible].

Pag. ς. l. 1, al. [illegible], ita *Vossius*. ib. lege [illegible]. 4, al. ἐπαγγελία ταύτη. 9, al. ἐν [illegible]. 13, al. καὶ φθορᾷ οὐχ [illegible]. 15, al. [illegible]. 23, al. ἑαυτόν. 25, al. [illegible] πάντοτε [illegible], πάντοτε ψιθυρίζει, πάντοτε [illegible] πάντοτε [illegible]. utramque lectionem reddit *Vossius*. 31, al. [illegible]. ib. [illegible]. 32, al. [illegible]. 36, al. [illegible]. 39, al. [illegible]. lege [illegible].

Pag. Z. l. 2, al. ΟΡΘΟΣ. ὁ [illegible] καὶ ἄδικον κρίσιν οὐ κρίνει [illegible], καὶ πάντα [illegible], καὶ ἐν [illegible] ΟΡΘΟΣ. & sic *Vossius*. exciderant hæc exemplari (*Laud.* C. 99.) ad quod textum expressimus, prono librarii dictantis lapsu, tam prope se ΟΡΘΟΣ & ΟΡΘΟΣ mutuo respicientibus. 24, al. [illegible]. Ο ΥΠΗΚΟΟΣ [illegible] [illegible]. ita & *Vossius*. ex consimili casu etiam hæc prætermissa. 25, al. [illegible], rectius. 30, al. [illegible]. 37, al. [illegible] (…). 39, al. [illegible].

Pag. H. l. 3, al. [illegible]. 5, lege [illegible]. 7, al. [illegible]. 12, al. [illegible]. 14, lege [illegible]. 19, lege [illegible]. ib. al. [illegible]. 28, leg. [illegible]. 30, al. [illegible]. 33, pro [illegible], forte legendum [illegible]. 39, pro [illegible] minus, alter codex habet [illegible], duplex [illegible], legendum enim [illegible].

Pag. Θ. l. 5, pro [illegible], alter cod. [illegible] habet. legerim [illegible]. 9, lege [illegible]. 11, al. [illegible]. 14, καὶ [illegible], ambobus aliquid excidisse MSSis è versione *Vossii* conjicio. olim lectum est καὶ ΠΑΝΤΑΣ [illegible], καὶ [illegible] ΠΑΝΤΑΣ [illegible]. 35, al. [illegible]. 39, al. ἐν [illegible]. è duobus lectionibus, refingatur vera [illegible].

Pag. I. l. 2, al. [illegible]. 3, lege [illegible]. 8, al. [illegible]. 12, al. μὴ [illegible]. 14, al. [illegible]. 16, lege [illegible]. 31, al. [illegible]. ib. al. [illegible] deest. 36, al. [illegible]. 40, al. [illegible] — [illegible]. ibid. pro [illegible] lege καί. 42, al. [illegible].

Pag. Ια. l. 3, al. [illegible], rectè. 7, [illegible]. Sic in utroque cod. MS. at quæ vox ista? forsan [illegible], etsi nec ista mihi occurrat. 9. al. καὶ [illegible]. 12, [illegible]. 19, lege [illegible]. 21, al. [illegible]. 26. [illegible]. 27, [illegible] alterum invasit textum ex interpretamento. Cod. al. [illegible]. 39, al. [illegible]. 40, pro [illegible], al. [illegible]. 42, al. [illegible].

Pag. Ιϐ. l. 5, al. [illegible]. 6, leg. [illegible]. 8, al. [illegible]. 11, al. [illegible] ὑμῶν. dein, [illegible] ὑμῶν. 16, lege ΕΛΕΓΧΟΣ. Sermo hic in duobus reperitur codicibus, *Laud.* C. 99, & 97. In codice operum Ephræmi Photiano vel hæc oratio primum obtinuit locum, vel Sermo ille ad pag. Πϛ. 25, al. [illegible]. 27, al. [illegible], rectius. 29, al. [illegible]. 39, lege [illegible]. 40, al. [illegible]. 41, al. [illegible].

Pag. Ιγ. l. 3, al. [illegible]. 11, al. [illegible]. 13, al. [illegible], melius. 14, al. [illegible]. ib. lege εἰ. 15, leg. [illegible]. 19, al. [illegible]. 20, al. [illegible]. 21, lege [illegible]. 24, al. [illegible]. 34, al. [illegible]. 36, al. [illegible]. 37, al. [illegible]. 38, al. [illegible]. ib. [illegible]. 39, al. [illegible]. 40, al. [illegible].

Pag. Ιδ. l. 1, al. τοῦ [illegible]. 3, lege [illegible]. 7, lege [illegible]. 11, pro [illegible], restitue [illegible]. 18, al. [illegible]. 28, al. [illegible]. 29, al. [illegible]. 30, lege [illegible]. 37, al. [illegible]. 41, al. καὶ [illegible]. ibid. [illegible]. 42, lege [illegible].

Pag. Ιε. l. 1, al. [illegible]. 2, al. [illegible]. 3. al. [illegible] deest. 5, al. [illegible]. 7, lege [illegible]. 8, lege [illegible]. 15, al. [illegible]. 17, al. [illegible]

ἀντιαποδίδωμι. 21, al. ἐν τῇ ὥρᾳ. 29, Πρὸς [illegible]. Sermonem exhibent cod. *Laud.* C. 99, & al. C. 97.

Pag. Iϛ. l. 2, al. διὸ καὶ ὁ κς. 10. al. καὶ ὃν [illegible], χρ τὸ κόσμ. 26, al. διὰ [illegible] 2[illegible], al. [illegible]. 33, al. τὸ λαὸν ἴσς. 3[illegible], al. ὁ κόσμος τὸ χόρτ. 3[illegible], lege ἐξαπόσ.

Pag. Iζ. l. 1, lege πραῦς. 9, al. ἐνεδείξαντο. 13, al. κατορθωσάμενον. 14, al. παῦλος ὁ ἀπόστολος. 25, al. τοὺς ἐρασ[illegible]. 27, lege ὀνειδίσαι. 28, al. δώματα δῶσιν. ib. καὶ αἱ μὲν. 34, lege ἰσχυραί. 38, lege οὐσίας [illegible].

Pag. Iη. l. 1, εἰπὸν. 4, ἐξ ἔνδυ. 8, in uno MS. γῆς deest. 10, al. ποιήσει, καὶ μείζονα ποιήσει, prætermissio in uno MS. ob τὸ ποιήσει repetitum. 13, al. [illegible] τὸ [illegible]. 15, lege χρήσασθαι. 18, al. [illegible]. 19, al. [illegible]. 21, al. [illegible]. 22, pro [illegible] al. [illegible]. 24, al. [illegible]. 25, al. [illegible]. 29. al. [illegible]. 33, al. ὑμῶν [illegible]. 34, al. [illegible] ἔχοντες. [illegible].

Pag. Iθ. l. 14. lege [illegible]. ib. τὸ [illegible]. 11, al. [illegible]. 14, al. [illegible]. 18, al. [illegible], [illegible]. 19, al. [illegible]. 21, al. [illegible]. 24, al. [illegible]. 25, [illegible] hic Sermo in duobus MSS. occurrit, viz. *Laud.* C. 99. & 97. 28, al. [illegible] pro [illegible]. inde nata varietas, quod abbreviaturæ vocum valde similes. [illegible]. 30, al. [illegible]. 36, al. [illegible]. 40, al. [illegible]. ib. lege [illegible]. 42, lege [illegible].

Pag. K. l. 1, al. [illegible]. 2, al. [illegible]. 6, al. [illegible]. ibid. al. λέγει ὁ κς. 8, al. [illegible]. 9, al. [illegible]. 10, pro [illegible] al. [illegible]. 14, lege [illegible]. ibid. al. [illegible]. 21, lege [illegible]. 22, al. [illegible]. 24, al. [illegible]. ibid. al. [illegible]. 26, al. [illegible]. 27, al. [illegible] λέγει. 28, al. [illegible]. 33, al. παρελούσαντας. ib. al. λέγει μοι ὁ [illegible]. 42, al. [illegible]. Sic in utroque [illegible].

λιν, τὸ τοῦ στρατιώτου ἢ τοῦ πόλεως ἐκείνης σχῆμα λαμβάνει, ἵνα μὴ ἐπιγνωσθῇ. οὕτως καὶ ὁ μακάριος ἐφόρεσε τὸ τοῦ ἐχθροῦ, ἵνα αὐτὸν νικήσῃ ἐν αὐτῷ, καὶ τὴν αἰχμαλωσίαν αὐτοῦ ἐπιστρέψῃ. παραγενόμενος δὲ εἰς τὸν τόπον, εἰσελθὼν εἰς τὸ πανδοχεῖον, κατέλυσε· καὶ περιεβλέπετο ὧδε κἀκεῖ, καὶ οὐκ εἶδέ τινα. παρελθούσης δὲ ὥρας πολλῆς, καὶ μὴ θεασάμενος αὐτήν, ὑπομειδιάσας εἶπε πρὸς τὸν πανδοχέα· φίλε, ἤκουσα ὅτι ἔχεις ὧδε κόρην καλήν, καὶ θέλω ἰδεῖν αὐτήν. ὁ δὲ ἰδὼν τὴν ἡλικίαν καὶ τὰς πολιὰς αὐτοῦ, κατέγνω αὐτοῦ. εἶτα ἀποκριθεὶς, εἶπεν· ἔστι καὶ πάνυ ὡραία. ἦν γὰρ αὕτη ἡ μαρία ὡραία σφόδρα. καὶ ὁ μακάριος λέγει τῷ πανδοχεῖ· καὶ τίς καλεῖται; ὁ δὲ εἶπε, μαρία λέγεται. τότε φαιδρῷ τῷ προσώπῳ ὁ μακάριος εἶπε πρὸς αὐτόν, κάλεσον αὐτήν, ἵνα εὐφρανθῶμεν σήμερον μετ' αὐτῆς, πάνυ γὰρ ἀπὸ τῆς ἀκοῆς ἠράσθην αὐτῆς. κληθεῖσα δὲ ἦλθε πρὸς αὐτόν, καὶ ὡς εἶδεν αὐτὴν ὁ μακάριος εἰς τὸν καλλωπισμὸν καὶ τὸ σχῆμα τὸ πορνικόν, σχεδὸν ὅλον τὸ σῶμα αὐτοῦ δάκρυα ἐγένετο. ὁ δὲ βιασθεὶς ἐνεκρατεύσατο σφοδρῶς, ἵνα μὴ νοήσῃ. καθημένων δὲ αὐτῶν καὶ πινόντων, ἤρξατο ὁ θαυμαστὸς ἀνὴρ παίζειν μετ' αὐτῆς. ἡ δὲ ἀναστᾶσα περιελάμβανε, καὶ κατεφίλει τὸν τράχηλον αὐτοῦ. καταφιλοῦσα δὲ ὠσφράνθη τὴν ὀσμὴν τῆς ἀσκήσεως, καὶ ἐμνήσθη τῶν χρόνων τῆς ἀσκήσεως αὐτῆς, καὶ στενάξασα εἶπεν, ἔβαλα ἐμοὶ μόνῃ. ὁ δὲ πανδοχεὺς ἔκθαμβος γενόμενος, λέγει πρὸς αὐτήν· κυρία μαρία, σήμερον διετῆ χρόνον ἔχεις μεθ' ἡμῶν καὶ οὐδέποτέ σου ἤκουσα στενάξαι, ἢ τοιοῦτον λογισμὸν ἢ τοιοῦτον λόγον ἐκ σοῦ. καὶ νῦν τί σοι γέγονε; καὶ εἶπεν, εἴθε ἀπέθανα πρὸ τριῶν ἐτῶν, μακαρία ἤμην. εὐθέως δὲ ὁ μακάριος, ἵνα μὴ νοήσῃ, λέγει αὐτῇ αὐστηρῶς· ἄρτι ὅτε ἦλθες πρός με, ἐμνήσθης τῶν ἁμαρτιῶν σου. ἄρα οὐκ εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς, τί, ὁμοία αὕτη ἡ ἰδέα τοῦ θείου μου; ἀλλ' οὐκ εἶπεν ἐν ἑαυτῇ, ἡ ἡλικία αὕτη οὐκ ἔνι τοῦ θείου μου; ἀλλ' ὁ φιλάνθρωπος καὶ σοφὸς θεὸς, οὕτως ᾠκονόμησεν, ἵνα μὴ γνωρίσῃ αὐτόν, καὶ φοβηθεῖσα ἀναχωρήσῃ. εὐθέως δὲ ὁ μακάριος τὸ νόμισμα ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· φίλε, ποίησον ἡμῖν καλὸν δεῖπνον σήμερον, ἵνα εὐφρανθῶμεν μετὰ τῆς κόρης ταύτης, μακρόθεν γὰρ πάρειμι δι' αὐτήν. ὢ ὄντως σοφία κατὰ Θεόν. ὢ ὄντως ἀδιαφορία ὑπὲρ σωτηρίας ψυχῆς. ὢ ὄντως σύνεσις πνευματική. ὁ εἰς τὰ πεντήκοντα ἔτη τῆς ἀσκήσεως αὐτοῦ μὴ γευσάμενος ἄρτου, κρέας ἔφαγεν, ἵνα σώσῃ ψυχὴν ἀπολλυμένην. χοροὶ ἀρχαγγέλων ἐν τῷ οὐρανῷ ἐξέστησαν ἐπὶ τῇ ἀδιαφορίᾳ τοῦ μακαρίου. πῶς προθύμως καὶ ἀδιακρίτως ἤσθιε καὶ ἔπινεν, ἐθέλων ἐκ τοῦ βορβόρου ἐκσπάσαι τὴν ἐμπεπηδημένην ψυχήν. ὢ σοφία τῶν σοφῶν, καὶ σύνεσις τῶν συνετῶν. δεῦτε, θαυμάσατε εἰς τὴν ἰδιωτείαν ταύτην, πῶς ὁ τέλειος σοφὸς καὶ διακριτικὸς καὶ συνετὸς, ἐγένετο ἰδιώτης καὶ ἀδιάκριτος, ἵνα ἐκβάλῃ ψυχὴν καταποθεῖσαν, καὶ δεσμῶν καὶ φυλακῆς σκοτεινῆς λύσῃ τὴν βεβυθισμένην ταύτην κόρην ὑπὸ τῆς ἁμαρτίας. μετὰ δὲ τὸ εὐφρανθῆναι αὐτούς, εἶπεν αὐτῷ ἡ κόρη· κύριε, ἀνάστα, εἰσέλθωμεν ἔνδον. εἰσελθόντων δὲ αὐτῶν, ὁρᾷ κλίνην ἐστρωμένην, καὶ ἀνελθὼν προθύμως ἐκάθισεν εἰς τὴν κλίνην. πῶς σε καλέσω; πῶς σε ὀνομάσω, γενναῖε ἀθλητὰ τοῦ Χριστοῦ; οὐκ οἶδα. ἐγκρατῆ, ἢ ἀδιάφορον; σοφὸν ἢ ἄσοφον; διακριτικὸν ἢ ἀδιάκριτον; ὁ εἰς τὰ πεντήκοντα ἔτη τῆς ἀσκήσεως αὐτοῦ ἐπὶ ἑνὸς ψιαθίου καθεύδων, ἐπὶ κλίνης τοιαύτης ἐκάθισε; ταῦτα πάντα ἐποίησας εἰς ἔπαινον καὶ δόξαν τοῦ Χριστοῦ, καὶ μονὰς ἐβάδισας. καὶ κρέας ἔφαγες, καὶ οἶνον ἔπιες, καὶ εἰς πανδοχεῖον εἰσῆλθες, ἵνα ψυχὴν ἀπολλυμένην σώσῃς. ἡμεῖς δὲ εἰς διάκρισιν ἄχρειοι ἐρχόμεθα, καὶ ὀκνοῦμεν λόγον ὠφελείας λαλῆσαι τῷ πλησίον. καθημένου δὲ αὐτοῦ ἐπὶ τῆς κλίνης, ἔφη πρὸς αὐτὸν ἡ κόρη· δεῦρο, κύριέ μου, ἐπάρω τὰ ὑποδήματά σου. λέγει αὐτῇ, ἀσφάλισον τὴν θύραν, καὶ δεῦρο λάβε αὐτά. ἡ δὲ ἐφιλονείκει. αὐτὸς δὲ οὐκ ἠνέσχετο αὐτῆς. αὐτὴ δὲ ἀσφαλισαμένη τὴν θύραν, ἦλθε πρὸς αὐτόν· καὶ λέγει αὐτῇ, κυρία μαρία, ἔγγισόν μοι. καὶ ἐγγισάσης αὐτῷ, ἐκράτησεν αὐτὴν σφοδρῶς, ἵνα μὴ ἀποδράσῃ. καὶ ὡς θέλων καταφιλῆσαι αὐτήν, ἐπῆρε τὸ καμελαύκιον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ κλαύσας εἶπεν αὐτῇ· τέκνον μου μαρία, οὐ γινώσκεις με; οὐκ εἰμὶ ἐγὼ ὁ πατήρ σου Ἀβράμιος; σπλάγχνον μου, μαρία, οὐ γνωρίζεις με; οὐκ εἰμὶ ἐγὼ ὁ ἀναθρέψας σε; τί σοι γέγονε κυρία μαρία; τίς σε ἀπέκτεινε, τέκνον μου; ποῦ ἐστι τὸ σχῆμα τὸ ἀγγελικὸν ὃ εἶχες; ποῦ ἡ ἐγκράτειά σου, καὶ ὁ κλαυθμός σου; ποῦ ἡ ἀγρυπνία καὶ ἡ χαμαικοιτία σου; ἀπὸ τοῦ ὕψους τῶν οὐρανῶν εἰς τὸν κόσμον τοῦτον κατηνέχθης; τέκνον μου, διατί οὐκ εἶπές μοι, ὅτε ἥμαρτες, κἀγὼ εἶχον μετανοῆσαι ὑπὲρ σοῦ μετὰ τοῦ ἀγαπητοῦ μου Ἐφραίμ; τέκνον μου, διατί τοῦτο ἐποίησας; διατί οὕτως με ἐγκατέλιπες, καὶ εἰς λύπην με ἔβαλες; τίς ἐστιν ἀναμάρτητος εἰ μὴ εἷς ὁ Θεός; αὕτη δὲ ὥσπερ λίθος ἄψυχος ἔμεινεν εἰς τὰς χεῖρας αὐτοῦ, φοβουμένη καὶ αἰσχυνομένη. πάλιν ὁ μακάριος γέρων μετὰ κλαυθμοῦ λέγει αὐτῇ· οὐ λαλεῖς μοι, τέκνον μου μαρία; οὐ λαλεῖς μοι, σπλάγχνον μου; οὐχὶ διά σε ἦλθον ἐνταῦθα, τέκνον μου; ἐπ' ἐμοὶ ἡ ἁμαρτία σου, τέκνον· ἐγὼ ἀπολογοῦμαι ὑπὲρ σοῦ τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως ὑπὲρ τῆς ἁμαρτίας ταύτης. καὶ μέχρι μεσονυκτίου

οὕτω

οὕτω κλαίοντος παρεκάλει αὐτήν, καὶ συνῆλθε. μικρὰν δὲ λαβοῦσα παρρησίαν, καὶ εἰς ἑαυτὴν ἐλθοῦσα, ἔφη πρὸς αὐτὸν κλαίουσα· ἄνω εἰς σὲ προσέχειν οὐ δύναμαι, ὅτι ἐμιάνθην ἐν τῇ ἀκαθαρσίᾳ τοῦ βορβόρου. λέγει αὐτῇ ὁ μακάριος, ἐπ' ἐμὲ ἡ ἀνομία σου, τέκνον μου· ἐκ τῶν χειρῶν μου ἐκζητήσει ὁ Θεὸς τὴν ἁμαρτίαν ταύτην. μόνον σὺ ἄκουσον, καὶ δεῦρο, ἀπέλθωμεν εἰς τὸν τόπον ἡμῶν. ἰδοὺ καὶ ὁ ἀγαπητὸς ἡμῶν Ἐφραὶμ ἀλγεῖ περὶ σοῦ καὶ θρηνεῖ. ἐλέησον τὸ γῆράς μου, παρακαλῶ σε, σπλάγχνισον μου· οἰκτείρησον τὰς πολιάς μου, δέομαί σου, τέκνον μου· ἐλέησον τὸ γῆράς μου· καὶ ἀναστᾶσα, δεῦρο μετ' ἐμοῦ. ἡ δὲ ἔφη πρὸς αὐτόν· ἐὰν οἶδας, πάτερ, ὅτι δύναμαι μετανοῆσαι, καὶ προσδέχεται Θεὸς τὴν ἐμὴν μετάνοιαν, ἔρχομαι, καὶ προσπίπτω καὶ παρακαλῶ τὴν σὴν ὁσιότητα, καὶ καταφιλῶ τὰ ἴχνη σου τὰ ἅγια, τοῖς δάκρυσι βρέχουσα, ὅτι οὕτως ἐσπλαγχνίσθης ἐπ' ἐμὲ τὴν ἀπεγνωσμένην, καὶ ἦλθες ἐνταῦθα, ἵνα ἀναγάγῃς με ἐκ τοῦ βορβόρου τῆς ἀκαθαρσίας. καὶ θεῖσα τὴν κεφαλὴν αὐτῆς πρὸς τοὺς πόδας αὐτοῦ, ἔκλαυσε πικρῶς ὅλην τὴν νύκτα, λέγουσα· τί ἀνταποδώσω σοι περὶ πάντων ὧν ἀνταπέδωκάς μοι; ὄρθρου δὲ γενομένου λέγει αὐτῇ ὁ μακάριος· τέκνον, ἀνάστα, ἀπέλθωμεν. ἡ δὲ ἀποκριθεῖσα εἶπεν αὐτῷ, ἔχω ἐνταῦθα ὀλίγον χρυσίον καὶ ἱματισμόν, τί κελεύεις περὶ τούτων; λέγει αὐτῇ ὁ μακάριος· ἔασον ἐνταῦθα πάντα, μερὶς ἐστι τοῦ πονηροῦ δαίμονος. καὶ ἀναστάντες παραχρῆμα ἐξῆλθον. ἀνεβίβασεν αὐτὴν ἐπὶ τὸν ἵππον, καὶ αὐτὸς εἷλκεν ἔμπροσθεν αὐτῆς ἀγαλλόμενος, καὶ βαδίζων ἐν τῇ ὁδῷ. καθάπερ ποιμὴν ὅταν εὕρῃ πρόβατον ἀπολωλός, καὶ μετὰ χαρᾶς αἴρει αὐτὸ εἰς τοὺς ὤμους αὐτοῦ· οὕτως καὶ ὁ γέρων μετὰ χαρᾶς μεγάλης ἐπορεύετο. καὶ ἐλθόντων αὐτῶν εἰς τὸν τόπον, ἐνέκλεισεν αὐτὴν εἰς τὸ ἐσώτερον κελλίον, ὅπου ἦν αὐτὸς τὸ πρότερον, αὐτὸς δὲ ἦν εἰς τὸ ἐξώτερον. ἐπελάβετο δὲ ἡ ὁσία Μαρία τῆς προτέρας ἀσκήσεως μετὰ σάκκου καὶ σποδοῦ καὶ ταπεινώσεως πολλῆς, κλαυθμοῦ τε καὶ ἀγρυπνίας, ἐγκρατείας τε καὶ πρᾳότητος, μετανοήσασα προθύμως, καὶ ἐπικαλουμένη τὸν Θεὸν ἀναιδῶς. ὄντως αὕτη ἐστὶ μετάνοια. αὕτη ἐστὶν ἐπιστροφή. αὕτη ἐστὶν ἄσκησις. τίς γὰρ ἄσπλαγχνος ἤκουε τοῦ κλαυθμοῦ αὐτῆς, καὶ οὐ κατενύγετο; ἢ ποῖος ἀνελεήμων ἀκούων τὴν φωνὴν τοῦ ὀδυρμοῦ αὐτῆς οὐκ ἐδόξασε τὸν Θεόν; ἡ ἡμῶν μετάνοια πρὸς τὴν ἐκείνης, ὄναρ ἐστί. παρεκάλει δὲ τὸν Θεόν, ἵνα συγχωρήσῃ αὐτῇ ἃ ἔπραξε. καὶ ἐδείχθη αὐτῇ σημεῖον, ὅτι εἰσεδέχθη ἡ δέησις αὐτῆς. ὁ οὖν φιλάνθρωπος Θεὸς δεξάμενος αὐτῆς τὴν μετάνοιαν, καὶ ἰάσεις ἐποίει διὰ τῆς εὐχῆς αὐτῆς. ἔζησε δὲ ὁ μακάριος ἄλλα δέκα ἔτη, θεωρῶν τὴν καλὴν αὐτῆς μετάνοιαν, καὶ εὐχαριστῶν, καὶ δοξάζων, καὶ μεγαλύνων τὸν Θεόν. οὕτως ἀνεπαύθη ὁ μακάριος Ἀβράμιος, ὢν ἐτῶν ἑβδομήκοντα, μετὰ προθυμίας πολλῆς, ταπεινοφροσύνης τε καὶ ἀγάπης ἀνυποκρίτου, μὴ λαβὼν πρόσωπον ἀνθρώπου, μὴ προτιμήσας ἕνα καὶ εὐτελίσας τὸν ἕτερον, μὴ παραλλάξας τὸν κανόνα τῆς ἀσκήσεως αὐτοῦ, μηδὲ ῥαθυμήσας, μηδὲ ὀκνήσας· ἀλλ' οὕτως [ἴσ. ὄντως] ἦν ὡς καθ' ἡμέραν ἀποθνήσκων. αὕτη ἡ διαγωγὴ τοῦ μακαρίου Ἀβραμίου. αὕτη ἡ πολιτεία καὶ τὰ ἆθλα τῆς ὑπομονῆς αὐτοῦ. καὶ οὕτως αἰφνιδίως ἐξελθὼν ἐκ τοῦ νυμφῶνος, οὐκ ἐστράφη εἰς τὰ ὀπίσω, οὔτε ἐν τῇ θλίψει τῆς κώμης, οὐδὲ ἐν τῇ φαντασίᾳ τῶν δαιμόνων ἐδειλίασεν ἢ ἐχαυνώθη. τὸ δὲ μέγα αὐτοῦ καὶ θαυμαστὸν ἆθλον, τὸ τῆς ἀμνάδος Μαρίας, καὶ σοφίας, καὶ πνευματικῆς συνέσεως δὲ καὶ ἰδιωτείας, ἀδιαφορίας δὲ καὶ ἐγκρατείας, εὗρεν αὐτὴν ἐκσπάσαι ἐκ τοῦ βορβόρου τῆς ἀνομίας. ὢ τοῦ θαύματος, ἀδελφοί. εἰς αὐτὴν τὴν μάνδραν τοῦ δράκοντος εἰσελθὼν ὁ μακάριος οὗτος γέρων, καὶ αὐτὸν καταπατήσας, ἐξέσπασε βρῶμα ἐκ στόματος τοῦ δράκοντος. ταῦτα τὰ ἆθλα τοῦ μακαρίου Ἀβραμίου· καὶ ταῦτα μὲν ἐγράψαμεν εἰς παράκλησιν καὶ παραμυθίαν πᾶσι τοῖς προθύμως θέλουσιν ἀσκῆσαι, καὶ εἰς ἔπαινον καὶ δόξαν Θεοῦ τοῦ παρέχοντος, διὰ τῆς χάριτος αὐτοῦ, πᾶσιν ἡμῖν τὰ συμφέροντα. τὰς δὲ λοιπὰς ἀρετὰς αὐτοῦ ἀλλαχοῦ ἐγράψαμεν. ἐν τῇ ὥρᾳ δὲ τῆς ἀναπαύσεως αὐτοῦ συνήχθη σχεδὸν πᾶσα ἡ πόλις, καὶ εἷς ἕκαστος αὐτῶν μετὰ σπουδῆς ἤγγισεν εἰς τὸ σεμνὸν αὐτοῦ σῶμα, ἁρπάσαι αὐτοῦ εὐλογίαν ἐκ τῶν ἐνδυμάτων αὐτοῦ. οἷα γὰρ νόσῳ ἤγγισε τὸ ἀρθὲν ἐκ τῶν ἐνδυμάτων αὐτοῦ, εὐθέως ἰᾶτο. ἔζησε δὲ καὶ ἡ ἀμνὰς Μαρία ἄλλα πεντακονταπέντε ἔτη, καὶ οὕτως ὑπερβαλλόντως ἤσκησε, καὶ μετὰ δακρύων παρεκάλεσε τὸν Θεὸν ἡμέρας καὶ νυκτός, μέχρι τῆς ἐξόδου αὐτῆς, ὥστε καὶ τοὺς παριόντας διὰ τοῦ τόπου ἐκείνου ἵστασθαι καὶ κλαίειν ἀκούοντας τοὺς ὀδυρμοὺς αὐτῆς τοὺς ἀπαύστους, καὶ τὰς οἰμωγάς, νυκτὸς καὶ ἡμέρας, καὶ ὠφελουμένους ἀναχωρεῖν, δοξάζοντας τὸν Θεὸν τὸν σώζοντα τοὺς πεπλανημένους. Καὶ ἐν τῇ ὥρᾳ τῆς ἀναπαύσεως αὐτῆς πάντες οἱ θεασάμενοι αὐτήν, ἐδόξαζον τὸν Θεὸν διὰ τὴν πολλὴν φαιδρότητα τοῦ προσώπου αὐτῆς. ἀγαπητοί μου ἀδελφοί, οὗτοι ἐκοιμήθησαν ἐν εἰρήνῃ, καὶ μετὰ παρρησίας ἀπῆλθον πρὸς τὸν Θεόν, ὧν οὐκ ἐδεσμεύθη ἡ διάνοια εἰς τὴν μέριμναν τῶν γηΐνων πραγμάτων, ἀλλὰ μᾶλλον εἰς τὴν ἀγάπην τοῦ Θεοῦ. Ἐγὼ δὲ ἔμεινα ἀπαρασκεύαστος καὶ ἀπρόθυμος τῇ προαι-

 ρέσει,

ρέσῃ. ἰδοὺ γὰρ κατέλαβέ με ὁ χειμὼν, κἀγὼ γυμνὸς καὶ ἀνέτοιμος, θαυμάζω ἑαυτὸν, ἀγαπητοί, ὅτι καθ᾽ ἡμέραν ἁμαρτάνω, καὶ καθ᾽ ἡμέραν μετανοῶ· καθ᾽ ἡμέραν οἰκοδομῶ, καὶ καθ᾽ ἡμέραν καταλύω· ἑσπέρας λέγω, αὔριον μετανοῶ· πρωΐας δὲ γενομένης μετεωριζόμενος παρέρχομαι τὴν ἡμέραν πᾶσαν· πάλιν μεσημβρίας λέγω, νυκτὸς ἐπιφανούσης μετὰ δακρύων παρακαλῶ τὸν Θεὸν ἵνα εὐΐλατος γένηται ταῖς ἁμαρτίαις μου, φθασάσης δὲ τῆς νυκτὸς ὕπνῳ καταφέρομαι διὰ τὴν ἐμὴν χαυνότητα. οἱ λαβόντες μεθ᾽ ἐμοῦ τὸ ἀργύριον ἰδοὺ ἀγωνίζονται ἡμέρας καὶ νυκτὸς πραγματευόμενοι, ἵνα ἐπιτύχωσι τῶν ἐπαίνων ἐκείνων, καὶ τοῦ ἄρχειν κατὰ πόλεων, ἐγὼ δὲ διὰ τὴν ἐμὴν ὀκνηρίαν ἔκρυψα αὐτὸ ἐν τῇ γῇ, καὶ ὁ κύριός μου ἤγγισεν ἐλθεῖν, καὶ ἰδοὺ τρέμει ἡ καρδία μου, καὶ κλαίω τὰς ἡμέρας τῆς ῥαθυμίας μου, μὴ ἔχων τί ἀπολογήσασθαι. Οἰκτείρησόν με ὁ μόνος ἀναμάρτητος. σῶσόν με ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὅτι πλὴν σου τοῦ εὐλογημένου πατρὸς τοῦ ζωοποιοῦντος τὰ πάντα, ἄλλον οὐκ οἶδα, οὐδὲ εἰς ἄλλον πεπίστευσα. καὶ νῦν μνήσθητί μου, φιλάνθρωπε, καὶ σῶσόν με τὸν ἁμαρτωλόν. σὺ γὰρ γινώσκεις ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, ὅτι ἀπὸ πολλῶν σκολιῶν τρίβων καὶ σκανδάλων ἐξέκλινα· λέγω δὴ τὸ φρόνημα καὶ τὴν ζήτησιν τῶν αἱρετικῶν. τοῦτο οὐκ ἐξ ἐμοῦ, ἀλλά σου τοῦ φιλανθρώπου δεσπότου, τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Pag. Σκη. l. 4, pro εἶναι forte legendum ἐνεχθῆναι. 9, lege περικάλυπτε. 13, al. ἀγνωσύνη. 18, lege οἰκοῦντες δὲ χρόνῳ. 31, lege ὑπὸ τοῦ ὄφεως. 35, al. ἐξέστη τῇ διανοίᾳ ἀπογνώσεως ζοφερῷ σκότει· καὶ ἐπεκαλύψατο.

Pag. Σκθ. l. 4, ποῦ ἡ διδασκαλία σου — Ἐφραὶμ, ὅτι ἔλεγέ μοι, πρόσεχε σεαυτῷ.] alludit ad tractatum, cui titulus ATTENDE TIBIIPSI, superius impressum, pag. Ρνθ. l. 40, repone in textum καμελαύκιον. & denuo scribe κατακαλύπτον. & dele quæ horum margini adhærent.

Pag. Σλα. l. 15, lege ἡ διϊχνεύζετο. 42, lege κατοικτείρησον.

Pag. Σλβ. l. 31, al. εὐτελίζων. 39, lege τὸ καταμακ. MS. τὸ καταμακαρίαν ἐκείνην ἆθλον.

Pag. Σλγ. l. 1, lege ἀγῶνες. 7, lege ἥρπαζεν. 32, repone τοῦ πνς, τοῦ ζωοποιοῦντος τὰ πάντα.

Pag. Σλδ. l. 7, λόγος εἰς τὸν πάγκαλον Ἰωσὴφ] Sermonem hunc hausi è MS^to^ *Barocc.* 147. idem tractatus occurrit in aliis codicibus duobus *Baroccianis*, num. 148, & 192. Codex 148, per unamquamque pene lineam ab textu nostro differt, adeo ut varias lectiones colligere vix sit possibile; nec operæ pretium duxi integrum λόγον denuo in his notulis excudere. 21, al. προπαιδοῦχος θαυμαστός.

Pag. Σλε. l. 2, al. φρουρᾷ τηρεῖται. 19, al. ἐν τῇ ὥρᾳ ἐκείνῃ. ib. al. δοκῶν ὑπ᾽ αὐτῶν. 23, al. βασανίζειν αὐτόν. 30, lege οἴδατε πῶς ἀκριβῶς τοῦ υἱοῦ τοῦ θεοῦ γέγονεν Ἰωσὴφ τύπος τοῦ ἰδίου δεσπότου, ἐπειδὴ ἡ ἀρετὴ — τῇ γνώμῃ. Αρχὴν.

Pag. Σλϛ. l. 22, ἄλλον πένθον] sic MS. sed al. ἄλλο πένθος. 25, lege πάντας.

Pag. Σλζ. l. 20, al. πόλεμον προπέμπονται. 32, al, μήτηρ ἐμὴ, ut & infra.

Pag. Σμβ. l. 26, al. [illegible] 37, al. [illegible]

Pag. Σμγ. l. 3, lege καὶ τῆς [illegible]

Pag. Σμζ. l. 38, λόγος εἰς τοὺς [illegible]] è cod. *Barocc.* 174. occurrit etiam hic sermo in MS. altero *Seldeniano*.

Pag. Σμη. l. 11, lege ἀνεμιγῆν.

Pag. Σν. l. 34, lege ὁ ἄσπιλος. 41, lege ὁ υἱὸς, ἐν αὐτῇ φωνῇ.

Pag. Σνγ. l. 30, περὶ κρίσεως καὶ ἀναστάσεως] è cod. *Laud.* C. 97.

Pag. Σνδ. l. 4, ἐνὶ ἑκάστῳ. 16, lege πλήρεις ὄντας.

Pag. Σνε. l. 9, ὁ γὰρ περιεσπασμένος. ib. ἔχετε ἑαυτόν. 28, ὑμῖν.

Pag. Σνϛ. l. 9. lege ὁ ἀγάπης [illegible] δι᾽ αὐτῆς τὸ ἀγάπης [illegible] δι᾽ αὐτῆς ὁ ἀγάπης [illegible].

Pag. Σνζ. l. 1, περὶ ὁσίου βίου] è Cod. *Laud.* C. 97.

Pag. Σνη. l. 2, lege ἐκείνην ἐπιτελοῦν. 11, σώματι.

Pag. Σνθ. l. 19, lege ἀνθρωπαρέσκων. πρὶν ἐν [ὂν] τὸ σῶμα τὸ ἅγιον ὅμοιον· ἀπόκρυφον διὰ ἀνθρωπαρέσκειαν. 34, πρόχειροι. 39, παρὰ τοῦτο γὰρ χείρων.

Pag. Σξα. l. 1, lege ἀνέχῃ. 17, αὐτοῖς. 23, χαίρουσιν [σὺ] ἀνελάβῃ. 28, ἀνακαλεῖσθαι.

Pag. Σξγ. l. 22, lege περισπασμόν.

Pag. Σξδ. l. 4, λόγοι παραινετικοὶ] è cod. *Laud.* C. 97. ib. pro πρὸς ἀσκητὰς, cod. *Arundelianus* (cujus titulos exscripsit, eosque benigne mecum communicavit doctissimus *Tho. Smithus*, S. T. P.) habet πρὸς τοὺς κατ᾽ αἴγυπτον μοναχοὺς. 35, *Arundel.* ἀσκητικὴ προτροπὴ πρὸς θεοσέβειαν. hæc parænesis occurrit in MSS^is^ duobus, *Laudino* uno, C. 97. altero *Cromwelliano*, 10.

Pag. Σξε. l. 1, pro ἐὰν μὴ θῇς, al. ἐνθυμηθῇς. 7. al. — λέοντι αὐτὴν, ὁ δὲ ἀπολέσας αὐτὴν ἔνικαν ἡμᾶς, εὑρήσει αὐτήν. τί γὰρ ὠφελ. 16, al. ἐκδημίας. 18, al. ἐπελαθοῦ. 21, al. εἰσέλθῃς. 23, al. ὁ θέλων ἀγωνίζεσθαι. ib. al. ἐχέτω. 24, pro εἶδον, al. οἶδεν [ᾔδειν.] 25, al. προσεύχεσθαι. 27, al. πρὸ θύραις. 30, al. βιάζηται, καὶ αἱ ἀληθινῶς συντήσῃ [συντηρήσῃ] βλέπε μὴ ψεύσῃ, ὅτι οὐ λανθάνει. 36, al. ἀπεχομένου. & deinde δυνήσεται. 37, lege ὑπερασπιστής.

Pag. Σξϛ. l. 3, al. βοηθεῖν, οὐ μόνον λόγῳ ὑποδεῖξαι, ἀλλὰ καὶ ἐν γραφῇ. 19, al. τοῦ βίου. 20, al. πλείονα ἀδελφῶν. 34, legendum ἀλλὰ μηδὲ κρίνομεν τινα, οὐ γὰρ οἴδαμεν τίνι ἀρέσκει ἐν τῷ καλλίῳ αὐτοῦ, ἢ ποῖον πόνον ἔχει πρὸς τὸν θεόν, μήτε δὲ θεωρῶμεν. MS.

Pag. Σξζ. l. 3, χαλλωπίζου. 6, al. αὐτοῦ ἐξέπεσε. 7, al. κτῆσῃ φιλίαν. 9, al. συναναμίγνυσο. 19, al. ματαίως, εἰσέλθῃς εἰς κοινόβιον πλειόνων ἀδελφῶν, μὴ σὺ ἀπαιτεῖτω. 21, al. μεταμεληθήσῃ, ἀλλ᾽ ὑπόμενον, ἀρχάς. 26, al. ἀπόκοψον ἀπὸ σοῦ καὶ ἕξεις ἀνάπαυσιν. 29, al. ἀρχέκακος γὰρ ἀπατηλὸν καὶ ἀνυποτακτῶν. 31, al. — εἰσὶν ἐν φόβῳ καὶ ἀγαλλιάσει.

Pag. Σξη. l. 10, al. παραίνεσις ι᾽. πρὸς τὸ μὴ ὑψηλοφρονεῖν. 13, al. ἀνυποταξίας. 16, al. καὶ τί λέγω; πᾶσα συνοχεία τοῦ μονήρους βίου, ὡς ὁ καταλλάσσων δραχμὴν εἰς μυρία τάλαντα χρυσίου· οὕτως νυνὶ μικρὰ θλίψις πρὸς τὴν μέλλουσαν αἰώνιον ζωήν. τοὐναντίον δὲ ἡ θλίψις συνάπτει αἰώνιον τοῖς τὰ φαῦλα πράσσουσι. 21, al. ἐπὶ σοῦ κακῶς. 32, al. θεὸς ἦν. 40, lege — λίπελον.

Pag. Σο. l. 36, corrige γῆ Μαδιάμ. 42, lege πῶς.

Pag. Σοα. l. 14, παραίνεσις ι᾽. πρὸς ἀρχαρίους μοναχοὺς, περὶ τῶν ἀπ᾽ ἀρχῆς ἐπερχομένων λογισμῶν. MS. *Arundel.* 15. ἐκλύει ἐκ προσώπου, *Arundel.* 21, lege ποιήσει. ib. pro ἄνθρωπος, al. σάρξ. 32, al. καταπατηθῇ. 33, al. εἰς ἀγγεῖα. ib. al. ἀναβράζει. 35, al. ἐγγρυπτεται ἐκ τοῦ πάσχειν. 36, al. μεριμνῆς αὐτοῦ πρὸς τὸν ὑψηλὸν φρόνημα. 38, al. ἵνα ἐὰν εὕρωσι ἀγγεῖον ὑπαίτιον. 41, al. εἰσπηδήσουσιν.

Pag. Σοβ. l. 1, al. κατὰ πρόσωπον. 6, lege δίδωμι, vel δέδομαι. 17, πρὸς ἀρχαρίους μοναχοὺς, περὶ νήψεως. *Arund.* 22, lege μήτηρ.

Pag. Σογ. l. 13. ἴσ. ἐπεισελθεῖν ἐξομολογήσασθε. 16, ἴσ. θεῷ.

Pag. Σοϛ. l. 31, lege διακοσμίαν. ita MS. 35, pro διδακτικὴ, MS. *Arundel.* habet πρὸς νεοφύτους μοναχοὺς, καὶ περὶ ταπεινοφροσύνης.

Pag. Σοη. l. 15, MS. *Arundel.* πρὸς φιλοδόξους καὶ τὰ πρωτεῖα ἁρπάζειν βουλομένους. 17, MS. *Arundel.* τί σπανίως ἐνεργούμενος.

Pag. Σοθ. l. 6, MS. *Arundel.* [illegible]. 8, MS. *Arundel.* χρόνῳ ὁ ἀδελφός. 9, pro [illegible] MS. *Arundel.* σὺ.

Pag. Σπ. l. 2, Titulus in MS. *Arundel.* sic se habet, [illegible] ὁ χρυσορρήμων [illegible] ἐν τῇ συνάξει, [illegible] ἐν τῷ χωρίῳ τῆς [illegible] [[illegible]]. 23, in MS. *Arund.* Titulus exstat, περὶ τῆς [illegible] [illegible]. 25, MS. *Arundel.* [illegible] — [illegible] [illegible].

Pag. Σπα. l. 21, lege [illegible]. 31, MS. *Arundel.* sic titulum exhibet, περὶ [illegible] [illegible] καὶ [illegible].

Pag. Σπβ. l. 23, lege [illegible] vide pag. prox. lin. decimam sextam.

Pag. Σπγ. l. 1, cod. *Arundel.* præfert titulum, [illegible] ἀδελφὸν ἐξελθόντα [illegible] μοναστηρίου καὶ [illegible].

Pag. Σπζ. l. 8, lege [illegible] γὰρ τῷ [illegible] [illegible] χωρὶς τὸ κοινόβιον φαίνεται, οὕτω τῷ [illegible] ἐν κοινοβίῳ χωρὶς ἡ μανία φαίνεται. 40, lege [illegible].

Pag. Σπη. l. 22, lege σκοτίᾳ. 27, νυκτός. 30, [illegible] μη.

Pag. Σπθ. l. 25, ὅτι μὴ δεῖ [illegible] [illegible], cod. *Photii.*

Pag. Σϥα. l. 33, titulus in cod. *Arundel.* sic se habet, ὅτι δεῖ τὸν ἡγούμενον συμπαθῆ καὶ ἀμνησίκακον εἶναι. in cod. *Photiano*, ὅτι μὴ δεῖ τὸν [illegible] τοῦ κοινοβίου, [illegible] καὶ μεταβαλλόμενον [illegible]. 39, lege [illegible].

Pag. Σϥϛ. l. 7, καυχᾶμαι σε] vulg. versio, *non est ambitiosa.* 28, lege εὑρήσει. 37, ποίησον μοι [illegible].

Pag. Σϥϛ. l. 29, lege [illegible]. 40, [illegible].

Pag. Σϥζ. l. 11, MS. *Arundel.* ἐν τῷ [illegible]. 30, lege ἀκόστον.

Pag. Σϥη. l. 1, pro ἀμνησίκακον εἶναι, *Photius* habet μνησικακίας κρείττω εἶναι. 4, lege [illegible] τὸ συμβῆναι. 12, [illegible] λιπαίνει. 20, ἀλλ' ἔστι καὶ γέλως ἀνάπλεων θυμὸν εἰς ὀργὴν [illegible] τοῦ πλησίον, ἐν τῷ [illegible] γελᾷν πρὸς παροξυσμὸν τοῦ [illegible]. 35, — [illegible] ὅτι [illegible], ἀλλ' ὅτι [illegible].

Pag. Σϥθ. l. 7, legendum [illegible]. 27, περὶ [illegible], ὅτι δεῖ φεύγειν αὐτά, *Photius.*

Pag. Τ. l. 4, pro φιλαιτίους, legit MS. φιλοκαλλίστους. confer lineam sextam decimam.

Pag. Τα. l. 21, ἴσ. θλίψις. 28, lege [illegible]. 36, [illegible].

Pag. Τδ. l. 1, in *Photio* titulus aliter effertur: ὡς ἐν ἀντιλογίᾳ, τῇ σωφροσύνῃ καὶ ἁγνείᾳ τὸ κράτος καὶ τῆς ἰσχύος βεβαιοῖ. 31, lege [illegible].

Pag. Τε. l. 9, lege κρίσιν μεγάλης ἡμέρας κολαζομένους [illegible] καὶ ἀρχαίων. 29, ad marginem [illegible].

Pag. Τζ. l. 6. apud *Photium* sic se habet titulus: περὶ τοῦ μὴ ἐμβλέπειν τοῖς ὀφθαλμοῖς, καὶ ὡς δι' [illegible] [illegible] λογισμοῖς. εἰ δι' [illegible] βρωμάτων [illegible] λογισμός. 26, lege βράζοντος. 39, τοῦ [illegible].

Pag. Τθ. l. 21, lege — [illegible] ἀνέχῃ [illegible].

Pag. Τι. l. 19, titulus apud *Photium*; πρὸς [illegible] [illegible] καὶ [illegible], μὴ πρὸς τὸ ἔσχατον τῆς ἀπωλείας ἐκπεπτωκότας [illegible] τῷ ἐκ θεοῦ φόβῳ καὶ τῷ μέλλοντι [illegible] κρίματι.

Pag. Τια. l. 27, lege ὑπομείναντες καὶ εὐαρεστήσαντες ἐν τῷ νῦν αἰῶνι.

Pag. Τιβ. l. 11, lege τί ἀνίλεως [illegible]. 13, hic loci, græca mendi suspecta. 27, lege [illegible].

Pag. Τιδ. l. 15, supple κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ὑμεῖς περὶ δόξης. 31, οἱ ἁμαρτωλοὶ εἰς τὴν γέενναν τοῦ πυρὸς παρεδόθητε· νῦν οἱ δίκαιοι ὡς τὸ φῶς [illegible], ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὑμεῖς δὲ οἱ ἁμαρτωλοὶ εἰς τὸ σκότος τὸ ἐξώτερον παρεδόθητε.

Pag. Τιϛ. l. 5, lege τῇ εὐθείᾳ. 20, ἡ καρδία. 36, μήτηρ.

Pag. Τιζ. l. 26, titulus in cod. *Photii*: πρὸς τοὺς ἐξ οἰκείας [illegible] ἁμαρτίας καὶ [illegible] [illegible] ἐν ἁμαρτίαις. 30, lege ἀδελφέ.

Pag. Τιη. l. 1, lege [illegible] ἠγάπησας [illegible], μᾶλλον ἠγάπησας. τοὺς [illegible] σου [illegible], [illegible] οὐκ ἠγάπησας. [illegible] δὲ μᾶλλον ἠγάπησας. τὸ δὲ [illegible]. 25, lege [illegible] ἀγαθὸς γὰρ ὑπάρχει. [illegible], ἀλλὰ [illegible] [illegible] ἰαθῆναι. [illegible], ἀλλ' [illegible] μόνον.

Pag. Τιθ. l. 7, pro ἀπὸ, lege ὑπὸ. 35, τὴν θλίψιν τοῦ συμβίου λογίζεται.

Pag. Τκ. l. 20, ὁρᾷ τὴν γυναῖκα [illegible] ἐν τῇ αὐτοῦ [illegible] καὶ [illegible] ἀλλά, καὶ [illegible] ὁ [illegible] MS.

Pag. Τκδ. l. 6, lege [illegible]. 14, [illegible] αὐτόν. 23, [illegible]. 25, [illegible] [illegible] καὶ [illegible] ἐν [illegible] [illegible] ἐν [illegible].

Pag. Τκε. l. 7, lege [illegible]. 10, MS. [illegible] [—ριον.]

Pag. Τκγ. l. 22, περὶ [illegible] [illegible]. [illegible] δὲ [illegible] καὶ [illegible] [illegible]. *Photius.*

Pag. Τλδ. l. 22. ἡμεῖς ἵν δοξάσωμεν τὸν θεόν, ὅπως δοξάσει [δοξάσῃ] ἡμᾶς καὶ νῦν τοῖς ἄλλοις. καὶ ἐν τίνι δοξάσωμεν αὐτόν; ἐν τῷ [illegible], MS.

Pag. Τλε. l. 2, lege τῇ [illegible]. 23, [illegible]. 24, [illegible].

Pag. Τλη. l. 5, MS. [illegible]. 31, lege [illegible].

Pag. Τλθ. l. 23, lege [illegible]. 27, MS. τὸ δὲ δεῖν ἡ θλῖψις τῆς [illegible] [illegible] καὶ ἡ χαρὰ τῆς [illegible] [illegible] ἀμετρῆ, κρεῖσσον [illegible] τοὺς [illegible] θλίψεως, ἢ τῆς [illegible]. sic chasma suppletur è MS^to.

Pag. Τμ. l. 25, duo integra folia à MS^to absunt.

Pag. Τμα. l. 22. MS. [illegible] ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ὁ [illegible] [illegible] τῶν ἁμαρτιῶν ἡμῶν, ὅτι σε δεῖ ἡ δόξα. 24, [illegible] τῆς [illegible], forsan ita titulum legit *Photius.*

Pag. Τμβ. l. 20. *Photius* titulum sic exhibet: ὅπου [illegible] ὁ [illegible] βίος τῆς ἐν κόσμῳ πολιτείας.

Pag. Τμγ. l. 8, lege [illegible]. 36, — [illegible] [illegible].

Pag. Τμδ. l. 13, MS. οἵ τινες ἐλθόντες εἰς τὰ ἴδια κτήνη [κτήνη] [illegible] [[illegible]] εἰς τὰ οἰκήματα. τινὲς δὲ καὶ [illegible], καὶ τὰ [illegible] [illegible] καὶ [illegible] [illegible]. οἱ δὲ [illegible] ἡμέρας [illegible] [illegible]. ita cohæret sententia. 25, pro αὐτὴ, omnino legendum αὐτοῦ. 32, MS. τῷ λογισμῷ. 41, lege ἐν μέσῳ αὐτῶν.

Pag. Τμε. l. 10, lege [illegible] ἐν τῷ [illegible] [illegible].

Pag. Τμϛ. l. 2, MS. [illegible]. 7, μηδὲν [illegible]. 22, [illegible]. 40, [illegible].

Pag. Τμζ. l. 2, MS. περὶ ἡμῶν. 6, MS. — [illegible] ὑμῶν καὶ ἡμῶν ὁ χς, ὁ πηγὴ τῆς ζωῆς ὁ [illegible] χαρὰν, καὶ εἰρήνην, καὶ [illegible], καὶ ἐλπίδα ἀγαθήν. 9, λόγος εἰς τὴν [illegible] [illegible] τοῦ κυρίου ἡμῶν Ιυ χυ] è MS^to *Laud.* C. 84. hujus tractatus initio affigitur hæc notula, κυριακῇ τῆς [illegible]. *dominicâ* scilicet *septuagesimæ* in ecclesiâ lectitatus hic sermo. quod & ab erudito *Tentzelio* observatum video. Addo hic loci λόγον è duobus aliis MSS, *Baroc.* 147. *Roe*, 28. sensu eundem, verbis paulùm ab isto & sequenti impressis diversum.

Λόγος περὶ τῆς κοινῆς ἀναστάσεως, καὶ μετανοίας [ἄλλως, κρίσεως καὶ ἀναστάσεως,] καὶ ἀγάπης, καὶ εἰς τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ.

Αγαπητοί, μηδὲν προτιμήσωμεθα πλέον τῆς ἀνυποκρίτου ἀγάπης. πολλὰ γὰρ πταίομεν [Ιάκ. Γ, β.] καθ' ἑκάστην ἡμέραν καὶ ὥραν καὶ νύκτα. Καὶ διὰ τοῦτο τὴν ἀγάπην κτησώμεθα. αὕτη γὰρ καλύπτει πλῆθος ἁμαρτιῶν [Ιάκ. Ε, κ.] Τί γάρ τὸ ὄφελος, ἀδελφοί [ἄλλ. τέκνα,] ἐὰν πάντα ἔχωμεν, τὴν δὲ σώζουσαν ἡμᾶς ἀγάπην οὐκ ἔχωμεν; Τί τὸ ὄφελος, ἐάν τις ἄριστον ποιήσῃ μέγα καὶ καλέσῃ βασιλέα καὶ ἄρχοντας, καὶ πάντα ἑτοιμάσῃ τὰ ἐν ὑπηρεσίᾳ ἐν οὐδενὶ [ἄλλ. —σῃ πλούσια ἐν οὐδενὶ] λειπόμενος, ἅλας δὲ οὐκ ἔχῃ; μὴ δυνάμενον βρωθῆναι ὁ ἄριστος ἐκεῖνος. Οὐ μόνον δὲ [ἄλλ. γὰρ] τὸ ἀνάλωμα ἐζημιώθη, καὶ τοὺς κόπους ἀπώλεσεν, ἀλλὰ καὶ ἑαυτῷ ὕβριν περιεποίησε [illegible] τῶν κεκλημένων. Οὕτως

καὶ

καὶ ἐνταῦθα, ἀδελφοί μου, τί τὸ ὄφελος ἡμᾶς κοπιᾶν [ἄλλ. εἰς ἀνέμους κοπιᾶν] χωρὶς ἀγάπης; Χωρὶς τῆς ἀγάπης πᾶν [ἄλλ. ταύτης γὰρ χωρὶς πᾶν] ἔργον ἀκάθαρτον. Κἂν παρθενίαν τις ἔχῃ, κἂν νηστεύῃ, εἴτε ἀγρυπνῇ, κἂν εὔχηται [ἄλλ. νηστείαν, καὶ ἀγρυπνίαν, κἂν προσευχὴν,] κἂν δοχὴν ποιῇ πτωχοῖς, εἴτε δῶρα προσφέρῃ τῷ Θεῷ, ἢ ἀπαρχὰς, καὶ καρποφορίας, κἂν [ἄλλ. ἢ] ἐκκλησίας κτίζῃ, ἢ μεῖζον ἄλλο τι πράττῃ, χωρὶς ἀγάπης, πάντα εἰς κενὸν [ἄλλ. οὐδὲν] λογισθήσεται παρὰ τῷ Θεῷ. οὐ γὰρ εὐδοκήσει ἐν αὐτῷ [ἄλλ. εὐδοκεῖ ἐν αὐτοῖς.] Μὴ οὖν βουληθῇς χωρὶς τῆς ἀγάπης ποιῆσαί τι. Ἐὰν δὲ εἴπῃς, κἂν τὸν ἀδελφόν μου μισῶ, ἀλλὰ τὸν Χριστὸν ἀγαπῶ, εὑρίσκῃ ψεύστης. Ἐλέγχει σε Ἰωάννης ὁ Θεολόγος, λέγων· ὅτι ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε; πῶς δύναται ἀγαπᾷν τὸν Θεὸν, ὃν οὐχ ἑώρακε [α Ἰωάν. Γ, ι.] Φανερὸν οὖν ἐστιν, ὅτι ὁ ἔχων μῖσος κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ δοκεῖ [ἄλλ. δοκῶν] ἀγαπᾷν τὸν Θεὸν, ψεύστης ἐστὶν, καὶ ἑαυτὸν φρεναπατᾷ [Γαλάτ. ϛ, γ.] λέγει γὰρ πάλιν Ἰωάννης· ὅτι ταύτην τὴν ἐντολὴν ἀπ' αὐτοῦ ἔχομεν, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ [α Ἰωάν. Δ, κα.] Καὶ πάλιν ὁ Κύριος λέγει· ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται [Ματθ. ΚΒ, μ.] Ὢ θαῦμα ἐξαίσιον καὶ παράδοξον· ὅτι ὁ ἔχων τὴν ἀγάπην, ὅλον τὸν νόμον πληροῖ [ἄλλ. πεπλήρωκε·] πλήρωμα γὰρ νόμου, ἡ ἀγάπη [Ρωμ. Ιγ, ι.] Ὢ δύναμις ἀγάπης ἀνείκαστος. ὢ δύναμις ἀγάπης ἀμέτρητος. οὐδὲν τῆς ἀγάπης τιμιώτερον, οὔτε ἐν τῷ οὐρανῷ, οὔτε ἐν τῇ γῇ [ἄλλ. ἐπὶ τῆς γῆς.] Αὕτη ἡ θεία ἀγάπη ἐστὶν τὸ κεφάλαιον τῶν ἀρετῶν. ἡ ἀγάπη, αἰτία πάντων τῶν ἀγαθῶν. ἡ ἀγάπη, τὸ ἅλας τῶν ἀρετῶν. ἡ ἀγάπη, τὸ τέλος τοῦ νόμου. Αὕτη ἐνῴκησεν ἐν τῇ καρδίᾳ τοῦ Ἄβελ. αὕτη τοῖς πατριάρχαις συνήργησεν. αὕτη τὸν Μωϋσῆ ἐφύλαξεν. αὕτη ἐν τοῖς προφήταις κατεσκήνωσεν. αὕτη τὸν Δαβὶδ, οἰκητήριον τοῦ ἁγίου Πνεύματος ἐποίησεν. αὕτη τὸν Ἰὼβ ἐνίσχυσεν. Καὶ τί οὐ λέγω τὰ μείζονα; Αὕτη τὸν Υἱὸν τοῦ Θεοῦ ἐκ τῶν οὐρανῶν πρὸς ἡμᾶς κατήγαγε. Διὰ τῆς ἀγάπης πάντα ἐφανερώθη. ὁ θάνατος κατελύθη [ἄλλ. κατεβλήθη.] ὁ ᾅδης ᾐχμαλωτίσθη. ὁ Ἀδὰμ ἀνεκλήθη. διὰ τῆς ἀγάπης, μία ποίμνη γέγονεν ἀγγέλων καὶ ἀνθρώπων. διὰ τῆς ἀγάπης ὁ παράδεισος ἠνέῳκται [ἄλλ. ἀνέῳκται,] ἡ βασιλεία τῶν οὐρανῶν ἐπήγγελται [ἄλλ. ἐπαγγέλλεται.] Αὕτη τοὺς ἁλιεῖς ἐσόφισεν. αὕτη τοὺς μάρτυρας ἐνίσχυσεν. αὕτη τὰς ἐρήμους, πολιτείας ἀνέδειξεν. αὕτη τὰ ὄρη καὶ τὰ σπήλαια ψαλμῳδίας ἐπλήρωσεν. αὕτη ἐδίδαξεν ἄνδρας τε καὶ γυναῖκας τὴν στενὴν καὶ τεθλιμμένην βαδίζειν ὁδόν. Ἀλλὰ μέχρι τίνος οὐ σιγῶ τὸν περὶ τῆς ἀγάπης λόγον; Τίς γὰρ ἱκανὸς πάντα διηγήσασθαι τὰ τῆς ἀγάπης κατορθώματα; Ἀλλ' οὔτε οἱ ἄγγελοι κατ' ἀξίαν εὐφημήσουσι. Ὢ μακαρία ἀγάπη, χορηγὲ πάντων τῶν ἀγαθῶν. ὢ μακάριοι καὶ τρισμακάριοι, οἱ τὴν ἀληθινὴν καὶ ἀνυπόκριτον ἀγάπην κτησάμενοι. Καθὼς εἶπεν ὁ Δεσπότης· ὅτι μείζονα ταύτης ἀγάπης οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ [Ἰωάν. Ιε, ιγ.] Ταύτην τὴν θείαν ἀγάπην ἔχων Παῦλος ὁ ἀπόστολος, ἔλεγεν· ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐδὲν κατεργάζεται [ἄλλ. οὐκ ἐργάζεται·] οὐκ ἀποδιδοῖ κακὸν ἀντὶ κακοῦ, [α Πέτρ. Γ, θ.] οὐ λοιδορίαν ἀντὶ λοιδορίας. Ταύτην ὁ κτησάμενος, οὐδενὶ ὑπερηφανεῖ [ἄλλ. κατ' οὐδενὸς ὑπερηφανεύεται,] οὐ φθονεῖ, οὐκ ὀργίζεται, οὐ γογγύζει, οὐ μισεῖ τὸν ἀδελφόν ποτε. Ταύτην ὁ ἔχων [ἄλλ. κτησάμενος] οὐ μόνον τοὺς ἀγαπῶντας αὐτὸν ἀγαπᾷ, ἀλλὰ καὶ τοὺς θλίβοντας αὐτόν. Ταύτην τὴν θείαν ἀγάπην ἔχων Στέφανος, ὁ πρωτομάρτυς, ὑπὲρ τῶν λιθαζόντων αὐτὸν παρεκάλει τὸν Θεὸν, λέγων· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην [Πράξ. Ζ, ξ.] Μακάριος ὁ ἄνθρωπος, ὁ πάντα περιφρονήσας, καὶ τὴν ἀγάπην κτησάμενος. τούτου ὁ μισθὸς καθ' ἑκάστην ἡμέραν αὐξάνει. τούτου ὁ στέφανος ἡτοίμασται. τοῦτον πάντες οἱ ἄγγελοι μακαρίζουσι. τούτου ὁ Δεσπότης [ἄλλ. Θεὸς] οὐδέποτε χωρίζεται. ὁ Θεὸς γὰρ, ἀγάπη ἐστὶν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ [α Ἰωάν. Δ, ιϛ.] Καὶ περὶ μὲν τῆς ἀγάπης ταῦτα [ἄλλ. τοιαῦτα.]

Ἡμεῖς δὲ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Καὶ λαλήσωμεν περὶ μετανοίας, καὶ περὶ τῆς μελλούσης κρίσεως. Ταῦτα μελετῶμεν ἀγαπητοὶ νυκτὸς [ἄλλ. μελετᾷν, ἀγαπ. καλὸν νυκτ.] καὶ ἡμέρας, πρὸς τὴν ἐσχάτην ἀποβλέποντες ὥραν καὶ οὐ μὴ λάθεσθε [ἄλλ. ὥραν ἀπόβλεπε καὶ μὴ ἐπιλάθῃ] τῆς μηδέποτε σβεννυμένης φλογός. Ὁ ψαλμὸς ἐπὶ τοῦ στόματος ὑμῶν ἀδιαλείπτως ἔστω. Θεὸς γὰρ ὀνομαζόμενος φυγαδεύει τοὺς Δαίμονας. ὅπου ὁ ψαλμὸς, ἐκεῖ καὶ ὁ Θεός. ὅπου δὲ τὰ Διαβολικὰ ᾄσματα, ἐκεῖ ὀργὴ Θεοῦ, καὶ οὐαί. Ὅπου ἱεραὶ βίβλοι, καὶ ἀναγνώσεις, ἐκεῖ εὐφροσύνη δικαίων, καὶ σωτηρία ψυχῶν. ὅπου δὲ κιθάραι καὶ χοροὶ, ἐκεῖ σκοτισμὸς ἀνδρῶν τε καὶ γυναικῶν, καὶ τοῦ Διαβόλου ἑορτή. Τί οὖν τὸ ὄφελος, ἀδελφοί, ἐνθάδε πρὸς ὥραν χορεύειν καὶ πανηγυρίζειν, ἐκεῖ δὲ κολάζεσθαι εἰς τοὺς αἰῶνας. Ἐννοήσωμεν, ὅτι οὐδὲν ἡμᾶς ὠφελήσουσι τὰ πέρατα [ἴσως, τερπνὰ, Σελίδι Τηγ.] τῆς γῆς ἐν τῇ ὥρᾳ ἐκείνῃ. Ἐνθυμηθῶμεν, ὅτι ἐκεῖ

οὐδεὶς

ἐνδεὴς] [illegible] ἀλλήλων [illegible] ἔχοντος τὸ ἴδιον φορτίον βαστάζων ἵστασθαι [illegible] ἕκαστος [illegible] ἐπίγραφον τ̃ μάλιστα [illegible] κατ' αὐτοῦ. Ταῦτα καὶ τῶν ἐχόντων, ἀγαπητοί, συμφέρουσα καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, ὡς ὁ Ἀπόστολος ἐδίδαξε· καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος [β Κορ. Ζ, α.] Ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους καὶ τὰ τῶν ἐθνῶν σχήματα· καὶ μηκέτι περιπατήσωμεν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατοῦσι. τὰς τῶν ἁγίων μνήμας ἐπιτελῶμεν [ἄλλ. μνείας ἐπιτελοῦντες.] μνημονεύσωμεν πάντων τῶν ἐν ἀδικουμένοις, χηρῶν, ὀρφανῶν, ξένων, πλανητῶν, καὶ τῶν ἐν φυλακαῖς, τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Τὰς ἑορτὰς τιμήσωμεν, ἑορτάζοντες μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως καὶ Χριστιανικῶς. μὴ τὰς θύρας στεφανώσωμεν [Σελίδι Τοζ.] μὴ χορεύειν στησώμεθα. μὴ αὐλοῖς καὶ κιθάραις τὴν ἀκοὴν ἡμῶν ἐκθηλυνώμεθα. μὴ ἱμάτια μαλακὰ περιβαλλώμεθα, μὴ χρυσοῦ περιλάμψεσι, μὴ κώμοις, καὶ μέθαις. ἀλλὰ ταῦτα παραδώσωμεν Ἕλλησι καὶ Ἰουδαίοις. ἡμεῖς δὲ τῷ τιμίῳ καὶ ζωοποιῷ σταυρῷ τοῦ Σωτῆρος τὰς θύρας ἡμῶν στεφανώσωμεν λέγοντες μετὰ τοῦ Ἀποστόλου· ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [Γαλ. ς, ιδ.] Καὶ ἐπὶ τῶν θυρῶν ἡμῶν τὸν ζωοποιὸν σταυρὸν, καὶ ἐπὶ τῶν μετώπων, καὶ ἐπὶ τοῦ στήθους, καὶ ἐπὶ τοῦ στόματος, καὶ ἐπὶ παντὸς μέλους ἡμῶν τοῦτον ἐνσημειωσόμεθα, καὶ αὐτὸν ὁπλισώμεθα τὸ ἀήττητον ὅπλον τῶν Χριστιανῶν, τὸ νικητικὸν τοῦ θανάτου, τὴν ἐλπίδα τῶν πιστῶν, τὸ φῶς τῶν περάτων, τὸ ἀνοικτικὸν [ἄλλ. τὸ ἀνοικτήριον] τοῦ παραδείσου, τὸ τῶν αἱρέσεων καθαιρετικὸν [ἄλλ. καθαιρέτην,] τὸ στήριγμα τῆς πίστεως, τὸ μέγα φυλακτήριον καὶ σωτήριον καύχημα τῶν ὀρθοδόξων. Τοῦτον, Χριστιανοὶ [ἄλλ. Χριστιανέ,] καθεκάστην ἡμέραν καὶ νύκτα καὶ ὥραν, καὶ στιγμὴν μὴ διακαλύπτωμεν, περιφέροντες [ἄλλ. διαλείπτως ἐμπεριφέρων] ἐν παντὶ τόπῳ. χωρὶς αὐτοῦ μηδὲν ἐπιτελέσῃς, ἀλλὰ καὶ κοιμώμενος, καὶ ἀνιστάμενος, καὶ ἐργαζόμενος, καὶ ἐσθίων, καὶ πίνων, καὶ ὁδεύων, καὶ θάλασσαν πλέων, καὶ ποταμὸν διαβαίνων, πάντα τὰ μέλη σου τῷ ζωοποιῷ σταυρῷ κατακόσμησον, καὶ οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Τοῦτον θεωροῦσαι αἱ ἐναντίαι δυνάμεις φρίττουσιν ὑποχωροῦσιν [ἄλλ. φρίττουσαι ὑποχωροῦσιν.] οὗτος καὶ τὴν οἰκουμένην ἐλάμπρυνε, τὰς τοῦ σκότους ἠφάνισε, καὶ τὸ φῶς ἐπανήγαγεν. οὗτος] τὴν πλάνην κατήργησεν. οὗτος τὰ ἔθνη συνήγαγεν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ νότου, καὶ εἰς μίαν ἐκκλησίαν, καὶ εἰς μίαν πίστιν καὶ εἰς ἓν βάπτισμα ἐν ἀγάπῃ συνέδησε. τὸ ἀκαταμάχητον τεῖχος τῶν ὀρθοδόξων. Ποῖον στόμα, ἢ ποία γλῶσσα ἀξίως ἐγκωμιάσει τὸ ἀκαταμάχητον [ἄλλ. ἀκαταμάχητον] ὅπλον τοῦ βασιλέως Χριστοῦ. Οὗτός ἐστιν ὁ παγεὶς ἐν τόπῳ κρανίῳ, καὶ εὐθέως ἀνεστήσας τὸ βάθρον τῆς ζωῆς ἡμῶν. Ἐν τούτῳ τῷ τιμίῳ ὅπλῳ Χριστὸς ὁ Σωτὴρ [ἄλλ. Θεὸς] ἡμῶν διέρρηξε τὴν παμφάγον τοῦ ᾅδου γαστέρα, καὶ τὸ πολυμήχανον τοῦ Διαβόλου ἀνέτρεψε στόμα. Τοῦτον ἰδὼν ὁ θήλαστος ληστὴς ἐπέγνω, ὡς εἶχεν ἀπὸ τοῦ πρωτοπλάστου ἀπόλυσιν. Τούτῳ ὁπλισάμενοι οἱ μακάριοι Ἀπόστολοι, πᾶσαν τὴν δύναμιν τοῦ Ἐχθροῦ κατεπάτησαν. Τοῦτον περιβαλλόμενοι ἀντὶ θώρακος οἱ στρατιῶται τοῦ Χριστοῦ καὶ μάρτυρες, πάσας τὰς ἐπινοίας καὶ θράση τοῦ Πονηροῦ [ἄλλ. τὸ θράσος τῶν τυράννων] κατήργησαν. Τοῦτον βαστάζοντες, οἱ τῷ κόσμῳ ἀποταξάμενοι, μετὰ πολλῆς προθυμίας κατοικοῦσιν ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς τὰς καταμονὰς ποιοῦνται. Ὢ τῆς ἀμετρήτου ἀγαθότητος τοῦ φιλανθρώπου Θεοῦ. πόσα ἀγαθὰ ἐδωρήσατο διὰ τοῦ σταυροῦ τῷ γένει τῶν ἀνθρώπων; Αὐτὸς πάλιν ἐν τῇ συντελείᾳ τοῦ κόσμου, ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου, πρῶτος μέλλει ἀναφαίνεσθαι ἐν τῷ οὐρανῷ μετὰ δόξης πολλῆς [ἄλλ. οὐρανίου] καὶ πλήθους στρατιᾶς ἀγγέλων, τοὺς μὲν ἐχθροὺς ἐκφοβῶν καὶ ἐκθλίβων, τοὺς δὲ πιστοὺς χαροποιῶν καὶ φορτίζων [ἴσ. φωτίζων,] καὶ τὴν παρουσίαν μηνύων τοῦ μεγάλου βασιλέως. Καὶ περὶ μὲν τοῦ τιμίου σταυροῦ, ταῦτα καὶ πλείονα τούτων. Τὰ δὲ μετὰ τοῦτον, ἤγουν τὰ ὀπίσω αὐτοῦ ἐρχόμενα, διηγήσομαι ποταπά [ἄλλ. ἆρα ποταπά] [Σελίδι Τμζ.] ὑπὲρ λόγον καὶ ἔννοιαν, ὑπερβαίνοντα πᾶσαν διήγησιν, καὶ ἐκπλήττοντα [ἄλλ. καταπλήττοντα] πᾶσαν ἀκοήν. Οἴμοι, ἀδελφοί μου φιλόχριστοι [ἄλλ. ἀγαπητοί,] ἐμνήσθην τῆς ὥρας ἐκείνης καὶ ἐτρόμαξα, καὶ ἐν τούτῳ κατενύγη ὁ λόγος ἐσιγήθη ἀπὸ τοῦ πολλοῦ φόβου, ἐνθυμούμενος τὰ μέλλοντα ἀποκαλύπτεσθαι ὀπίσω τοῦ τιμίου σταυροῦ. Τίς γὰρ αὐτὰ διηγήσεται, ἢ τίς τολμήσει ἐξειπεῖν; ποῖον στόμα ἀπαγγείλῃ; ποία δὲ γλῶσσα φθέγξεται; ποία δὲ φωνὴ δηλώσει; ποία [ἄλλ. ποταπή] δὲ ἀκοὴ χωρήσει ἀκοῦσαι, ἅπερ οὐδὲ οἱ οὐρανοὶ [ἄλλ. ἄγγελοι] ὑπενεγκεῖν δύνανται. τοιαῦτα γὰρ μεγάλα καὶ φρικτὰ θαυμάσια, οὔτε ἐγένοντο, ἐν ὅλαις ταῖς γενεαῖς, οὔτε ἀκουσθήσονται [ἄλλ. γενήσονται.] Καὶ ἄρτι μὲν πολλάκις ἐὰν ἀστραπαὶ ἢ βρονταὶ σφοδρότεραι γένωνται, πάντες ἐκθροούμεθα καὶ πάντες εἰς γῆν ἐπικλινόμενοι, δεδοικότες [ἄλλ. δειλιῶντες] φρίττομεν. Πῶς δὲ ὑπενέγκωμέν ποτε, ὅταν ἀκούσωμεν τῆς φωνῆς τῆς σάλπιγγος, φοβερᾶς κραυγῆς καὶ ἐξυπνιζούσης τοὺς ἀπ' αἰῶνος κεκοιμημένους

ρυπωμένους [ἄλλ. κοιμηθέντας,] δικαίους τε καὶ ἁμαρτωλούς [ἄλλ. ἀδίκους.] Τότε ἐν τῷ ᾅδῃ τὰ ἐσθῆ τῆς ἀνθρωπίνης φύσεως, ἀκούσαντα [ἄλλ. ἀκούοντα] τῆς φωνῆς τῆς σάλπιγγος, περιτρέχουσι μετὰ σπουδῆς, ζητοῦντα τὰς ἑαυτῶν ἁρμονίας. ὅταν ἴδωμεν πᾶσαν ἀνθρωπίνην φύσιν ἀνισταμένην, ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ [ἄλλ. -μένην ἐκ τοῦ τόπου αὐτῆς,] καὶ ἐπισυναγομένους ἀπὸ τῶν τεσσάρων τῆς γῆς περάτων πρὸς τὸ κριτήριον, ποῖος φόβος, ποταπὴ δὲ φρίκη λήψεται ἡμᾶς; Κελεύει γὰρ ὁ μέγας βασιλεύς, καὶ εὐθέως μετὰ τρόμου καὶ σπουδῆς δώσει ἡ γῆ τοὺς νεκροὺς αὐτῆς, ἡ θάλασσα τοὺς ἑαυτῆς νεκρούς, καὶ ὁ ᾅδης τοὺς ἰδίους νεκρούς, καὶ εἴ τι θηρίον ἥρπασεν, ἢ ἰχθὺς ἐμέλισεν, εἴ τι ὄρνεον διήρπασεν [ἄλλ. ἐσπάραξε, κἂν ἰχθύες ἐμέλισαν, κἂν ὄρνεα διήρπασαν,] πάντες ἐν ῥιπῇ ὀφθαλμοῦ παραστησόμεθα [ἄλλ. παραστήσονται,] καὶ θρὶξ μία οὐκ ἀπολειφθήσεται. Ὅταν ἴδωμεν τοὺς πυρίνους ποταμοὺς ἐξερχομένους ἀπὸ ἀναβλύσεων μετὰ θυμοῦ, ὥσπερ ἀγρία θάλασσα, καὶ κατεσθίοντα τὰ ὄρη καὶ τὰς νάπας, καὶ κατακαίοντας πᾶσαν τὴν γῆν καὶ τὰ ἐν αὐτῇ ἔργα, τότε, ἀγαπητοί, ἐκ τοῦ πυρὸς ἐκείνου αἱ πηγαὶ ἐκλείπουσιν, οἱ ποταμοὶ ἀφανίζονται, ἡ θάλασσα ξηραίνεται, ὁ ἀὴρ κλονεῖται, τὰ ἄστρα πίπτουσιν ἐκ τοῦ οὐρανοῦ, ὁ ἥλιος ἐκλείπει, ἡ σελήνη μεταβάλλεται εἰς αἷμα, ὁ οὐρανὸς εἱλίσσεται [ἄλλ. εἱλήσεται] ὡς βιβλίον· ὅταν δὲ θεωρήσωμεν τοὺς ἀγγέλους ἀποστελλομένους καὶ περιτρέχοντας μετὰ σπουδῆς, καὶ ἐπισυνάγοντας τοὺς ἐκλεκτοὺς δούλους τοῦ Θεοῦ ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν· ὅταν ἴδωμεν οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὅταν ἴδωμεν τὸν φοβερὸν θρόνον ἑτοιμαζόμενον· ὅταν θεωρήσωμεν τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἀναφανὲν ἐν τῷ οὐρανῷ, τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν φωτίζοντα πάντα τὰ πέρατα τῆς γῆς· τότε πάντες θεωροῦντες ἐν τῷ ὕψει φανὲν τὸ βασιλικὸν τοῦτο καὶ φοβερὸν σκῆπτρον, ἐπιγινώσκει ἕκαστος ὅτι εὐθέως ὀπίσω τούτου ὁ βασιλεὺς μέλλει ἀναφαίνεσθαι ἐν ἐκείνῃ τῇ ὥρᾳ· τίς ἄρα ἀπαντήσεται τῷ Χριστῷ καὶ ἀπολογήσεται; καὶ ἐὰν σύνοιδεν ἑαυτῷ πλάσματα ἢ παραπτώματα, ἵσταται γυμνὸς [ἄλλ. φυγνὸς] καὶ τεθλιμμένος, ἐκδεχόμενος τὴν ἀπόφασιν τὴν μέλλουσαν ἐξελθεῖν κατ' αὐτοῦ. Ἕκαστος γὰρ θεωρεῖ τὰ ἴδια ἔργα αὐτοῦ πρὸ προσώπου αὐτοῦ ἱστάμενα, κἄν τε ἀγαθά, κἄν τε φαῦλα. τότε οἱ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίσαντες, καὶ πάντες οἱ γνησίως μετανοήσαντες, καὶ πάντες οἱ ἐλεήμονες καὶ ξενοδόχοι ἔσονται ἱλαροί, μετὰ πάσης χαρᾶς προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἔρχεται γὰρ ἵνα στεφανώσῃ [ἄλλ. εὐφράνῃ] τοὺς ἀγωνιζομένους ἐν ἀγρυπνίαις

καὶ προσευχαῖς καὶ νηστείαις καὶ ψαλμῳδίαις [ἄλλ. ψαλμοῖς,] ἔρχεται ἵνα μακαρίσῃ τοὺς πενθήσαντας ἐπὶ τοῖς παραπτώμασιν αὐτῶν, ἔρχεται ἵνα στεφανώσῃ τοὺς ἐλεήμονας, ἔρχεται ἵνα ὑψώσῃ τοὺς πτωχεύσαντας διὰ τὸ ὄνομα αὐτοῦ, τοὺς μὴ ἀγαπήσαντας τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ, ἀλλὰ πάντα καταλιπόντας, καὶ αὐτῷ μόνῳ ἀκολουθήσαντας. ἔρχεται οὐκ ἔτι ἀπὸ γῆς, ἀλλ' ἐξ οὐρανοῦ, ὡς ἀστραπὴ φοβερά. Τότε γίνεται κραυγὴ μεγάλη λέγουσα· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἰδοὺ ὁ κριτὴς παραγίνεται, ἰδοὺ ὁ δικαστὴς τῶν δικαστῶν ἀποκαλύπτεται, ἰδοὺ ὁ τῶν ὅλων Θεὸς παραγίνεται [ἄλλ. ἔρχεται] κρῖναι τὴν οἰκουμένην, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τότε, ἀδελφοί μου ἀγαπητοί, ἐκ τῆς κραυγῆς ἐκείνης τρομάζουσιν οἱ τέφροι τῆς γῆς ἀπὸ περάτων ἕως περάτων, καὶ θάλασσα καὶ πᾶσαι ἄβυσσοι. Τότε, ἀγαπητοί, φόβος καὶ τρόμος [ἄλλ. -τοι, στενοχωρία] καὶ ἔκστασις λήψεται πάντας ἀνθρώπους ἐκ τῆς κραυγῆς καὶ τοῦ ἤχου τῆς σάλπιγγος καὶ τῆς προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. Τότε αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Τότε προβαδίσουσιν ἀστραπαί, προτρέχουσι στρατιαὶ ἀγγέλων· οἱ τῶν ἀρχαγγέλων χοροὶ ἑτοιμάζονται· τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ καὶ τὰ πολυόμματα ἐν ἰσχύϊ καὶ βοῇ κράζουσιν [ἴσ. βίᾳ. ἄλλ. φόβῳ κραυγάζουσιν], ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ, ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ. Τότε πᾶν κτίσμα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐν δυνάμει κράζουσιν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. [Ματθ. Κα, θ.] Τότε σχισθήσονται οἱ οὐρανοί, καὶ ἀποκαλυφθήσεται ὁ τῶν βασιλέων [ἄλλ. βασιλευόντων] βασιλεὺς καὶ ἄρχων τῶν ἀρχόντων, ὡς ἀστραπὴ φοβερά, μετὰ δυνάμεως πολλῆς καὶ δόξης ἀνεκλαλήτου. καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμός, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν, καὶ κόψονται ἐπ' αὐτοῖς πᾶσαι αἱ φυλαὶ τῆς γῆς. [Ἰωάν. Ιθ, λζ. Ἀποκ. Α, ζ.] τότε ὁ οὐρανὸς καὶ ἡ γῆ εἰς φυγὴν τραπήσονται, καθὼς ὁ Ἰωάννης προεδήλωσε, λέγων· εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν καθήμενον ἐπ' αὐτόν, οὗ ἀπὸ προσώπου αὐτοῦ ἔφυγεν ὁ οὐρανὸς καὶ ἡ γῆ. [Ἀποκ. Κ, ια.] φεῦ ἁμαρτωλοὶ δὲ ποῦ στησόμεθα; Τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, ὡς αὐτὸς εἴρηκε, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη. [Ματθ. Ιθ, κη.] Ποταπὴ ἄρα ψυχὴ μέλλει [ἄλλ. θέλει] εὑρεθῆναι ἵνα δυνηθῇ ὑπομεῖναι [ἄλλ. ἵνα ὑπομείνῃ,] ὅτε τεθῶσι θρόνοι καὶ κριτήρια καθίσῃ, καὶ βίβλοι ἀνεῳχθῶσι; Τότε θεασόμεθα τὰς ἀναριθμήτους τῶν ἀγγέλων δυνάμεις παρεστώσας [ἄλλ. περιεστώσας] κύκλῳ ἐν φόβῳ. τότε οὐδὲ ἐκείνου τὰ ἔργα ἐπὶ ἀγγέλων καὶ ἀνθρώπων ἀναγινώσκονται καὶ

θριαμ-

γεγραμμένα εἰσίν· τότε πληροῦται ἡ προφητεία Δανιὴλ, ἡ λέγουσα· ἐγὼ Δανιὴλ ἐθεώρουν, ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθητο· τὸ ἔνδυμα αὐτοῦ λευκὸν, ὡσεὶ χιὼν ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ, ὡσεὶ ἔριον καθαρόν. ὁ θρόνος αὐτοῦ, φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ, πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. [Δαν. Ζ, θ, ι.] Μέγας ὁ φόβος, ἀδελφοί, ἐν τῇ ὥρᾳ ἐκείνῃ ὅτι ἀνοιχθῶσιν [ἄλλ. ἀνεῳχθῶσιν] αἱ φοβεραὶ βίβλοι, ἔνθα γεγραμμένα εἰσὶ τὰ ἔργα ἡμῶν καὶ οἱ λόγοι ἡμῶν, καὶ ἃ [ἄλλ. ὅσα] ἐπράξαμεν ἐν τῷ βίῳ τούτῳ, καὶ ἐνομίσαμεν λαθεῖν τὸν Θεὸν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς. ἐκεῖ ἀναγέγραπται πᾶσα πρᾶξις καὶ ἐνθύμησις ἀνθρώπων, [ἄλλ. ἐνθύμιον ἀνθρώπου,] κἄν τι ἀγαθὸν κἄν τι φαῦλον. Ὢ πόσων δακρύων χρῄζομεν διὰ τὴν ὥραν ἐκείνην ἣν ἀμελοῦμεν, [ἄλλ. καὶ ἀμελ.] διὰ γὰρ τῶν δακρύων καὶ ἐλεημοσυνῶν δυνάμεθα ἐξαλεῖψαι τὰ γεγραμμένα ἐγκλήματα. Ὢ πόσα στενάξομεν καὶ ἐλεεινὰ δακρύσομεν, ὅταν ἴδωμεν τὴν οὐρανῶν βασιλείαν ἀπόρρητον. Καὶ πάλιν, ἐκ τοῦ ἄλλου μέρους, θεασώμεθα τὰς φοβερὰς κολάσεις φαινομένας· μέσον δὲ τούτων πᾶσαν φύσιν ἀνθρώπων [ἄλλ. ἀνθρωπίνην] ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ἕως τοῦ γεννηθέντος πάντων ὕστερον, καὶ πάντας προσκυνοῦντας ἐπὶ πρόσωπον. τότε πληρωθήσεται ὁ λόγος ὁ γεγραμμένος· ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ. [Ησ. Με, κγ.] καὶ πάλιν ὁ Ἀπόστολος· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. [Φιλιπ. Β, ι, ια.] ἀμήν.

ΕΡΩΤΗΣΙΣ. Ἠρώτησαν αὐτὸν οἱ φιλόχριστοι ἀκροαταί· διδάσκαλε, εἰπὲ ἡμῖν καὶ τὰ τούτοις ἀκόλουθα [καὶ πῶς ἐπερωτῶνται.]

ΑΠΟΚΡΙΣΙΣ. Τότε, ἀδελφοί μου φιλόχριστοι, πᾶσα ἀνθρωπότης ἱσταμένη, μέσον τῆς βασιλείας καὶ τῆς κρίσεως, μέσον ζωῆς καὶ θανάτου, μέσον χαρᾶς καὶ ἀνάγκης, καὶ πάντες κάτω νεύοντες βλέπουσι τοὺς ἔμπροσθεν τοῦ βήματος παρισταμένους καὶ ἐπερωτωμένους, καὶ μάλιστα τοὺς ἐν ἀμελείᾳ ζήσαντας. καὶ ταῦτα θεωροῦντες, πάλιν κάτω νεύοντες, ἐνθυμοῦντες τὰς πράξεις αὐτῶν. Ἀλλὰ καὶ βλέπει ἕκαστος τὰ ἴδια ἔργα ἔμπροσθεν αὐτοῦ ἱστάμενα, εἴτε ἀγαθὰ εἴτε φαῦλα, ἕκαστος ἃ προέπεμψε. Τότε οἱ φαῦλα πράξαντες καὶ μὴ μετανοήσαντες ὀδυρόμενοι λέγουσιν· ὢ πῶς οὐκ ἠγρυπνήσαμεν οἱ ἄθλιοι, ἀλλ' ἐν ἀμελείᾳ τὸν καιρὸν ἀπωλέσαμεν, παίζοντες καὶ παιζόμενοι; πῶς οὐκ ἠγρυπνήσαμεν; διατί οὐκ ἐνηστεύσαμεν; διατί οὐκ ἠλεήσαμεν πτωχούς; διατί ἐφθονήσαμεν οἱ ἄθλιοι καὶ ἐπράξαμεν κακά; διατί οὐ μετενοήσαμεν, ὡς καιρὸς ἦν μετανοίας; ἀλλὰ γελῶντες καὶ τρυφῶντες καὶ μετεωριζόμενοι ἐπλανήθημεν, ὅτε μετανοίας καιρὸς οὐκ ἔτι ἐστί; τί ποιήσωμεν ὅτι ἔφθασεν ἡ φοβερὰ ἡμέρα καὶ ὥρα ἣν ἠκούσαμεν πολλάκις καὶ ἐγελῶμεν; τί ποιήσωμεν οἱ ἐλεεινοὶ, ὅτι αἱ βίβλοι ἠνεῴχθησαν καὶ κρίνουσιν [κατακρίνουσι] ἅπαντας; Ταῦτα αὐτῶν διαλογιζομένων ἀκούουσι [ἄλλ. ἀκούσωσι] τῆς φωνῆς τοῦ Κριτοῦ φοβερῶς κεκραγότος καὶ λέγοντος· δείξατε τὰ ἔργα ὑμῶν, καὶ λάβετε τὸν μισθόν. Ἐν δὲ τῇ ὥρᾳ ἐκείνῃ σαλευθήσονται πάντα τὰ τάγματα τῶν χριστιανῶν, ἀρχιερεῖς, καὶ διάκονοι, καὶ τὰ λοιπὰ τάγματα τῆς ἐκκλησίας. ἕκαστος γὰρ, ὡς λέγει ὁ Ἀπόστολος, ἐγείρεται ἐν τῷ ἰδίῳ τάγματι [α. Κορ. ιε, κγ.] δοῦναι λόγον τῷ Θεῷ. Τότε σαλευθήσονται [ἄλλ. ταραχθήσονται] βασιλεῖς καὶ δυνάσται, σοφοὶ καὶ πλούσιοι καὶ πένητες, διότι ἐπέστη ἡ ὥρα, ἵνα θερίσῃ ἕκαστος ὃ ἔσπειρε.

ΕΡΩΤΗΣΙΣ. Ἠρώτησαν οἱ φιλόχριστοι ἀκροαταί· εἰπὲ ἡμῖν καὶ μετὰ ταῦτα, δοῦλε τοῦ Θεοῦ, τί μέλλουσιν ἀκούειν ἢ παθεῖν [ἄλλ. παθαίνειν;]

ΑΠΟΚΡΙΣΙΣ. Οἴμοι, ἀδελφοί μου φιλόχριστοι, θέλω εἰπεῖν καὶ τὰ μετὰ ταῦτα, καὶ ἐκ τοῦ φόβου ἀνακόπτομαι, ἡ φωνή μου ἐκλείπει, τὰ δάκρυά μου προτρέχουσι, καὶ ἰλιγγιῶ· φρικτὸν γὰρ τὸ διήγημα.

ΕΡΩΤΗΣΙΣ. Οἱ φιλόχριστοι· εἰπὲ διὰ τὸν Κύριον πρὸς ἡμετέραν ὠφέλειαν.

Ο ΔΙΔΑΣΚΑΛΟΣ ΛΕΓΕΙ. Τότε, φιλόχριστοι, ἐρωτᾶται ἑκάστου ἡ σφραγὶς τοῦ χριστιανισμοῦ, ἣν ἔλαβεν ἕκαστος ἐν τῇ καθολικῇ ἐκκλησίᾳ διὰ τοῦ βαπτίσματος, καὶ ἀπαιτεῖται ἕκαστος τὴν πίστιν τὴν ἀμίαντον, καὶ τὴν σφραγῖδα τὴν ἄθραυστον, καὶ τὸ χιτῶνα ἀμόλυντον, καὶ τὴν καλὴν ὁμολογίαν ἣν ὡμολόγησεν ἐπὶ πολλῶν μαρτύρων, λέγων· ἀποτάσσομαι τῷ Σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, οὐχὶ εἰς ἓν ἢ δύο ἢ πέντε, ἀλλὰ πᾶσι τοῖς ἔργοις τοῦ διαβόλου. Ταύτην οὖν τὴν καλὴν ἀπαιτούμεθα ἐν τῇ ὥρᾳ ἐκείνῃ· καὶ μακάριος ὅστις ἐφύλαξε καλῶς καὶ συνετηρήθη [ἄλλ. συνέθετο.] Δι' ἑνὸς γὰρ ῥήματος ἀποτάσσεται πᾶσι τοῖς ἔργοις [ἄλλ. πᾶσι φαύλοις πράγμασι] τοῦ διαβόλου, μοιχείαν τὴν βδελυρωτάτην, πορνείαν, φόνους, ἀκαθαρσίαν, φθόνον, κλοπὴν, λοιδορίαν, πονηρίαν, θυμὸν, αἰσχρολογίαν, μέθην, μνησικακίαν, ζῆλον, ὑπερηφανίαν, βλασφημίαν, γέλωτα [ἄλλ. γέλοια,]

ἔχθραι [illegible] καθηγεμονίας, ἀρχισμοὺς, χειραλίας, καλακεύματα [ἄλλ. καλακεύματα,] πραγματείας τὰ φάσματα τῶν Δαιμόνων, πλεονεξίαν, μισαδελφίαν, καὶ ἔσχατα πάντων τῶν κακῶν, πνευματομαντίαν [ἄλλ. νεκρομαντίαν,] αἱματοχυσίαν, φαρμακείαν· ταῦτα καὶ τὰ τούτοις ὅμοια ἀποτάσσεσθαι πᾶς χριστιανὸς ὀφείλει, ἃ ἐπὶ τῇ ἁγίᾳ κολυμβήθρᾳ. Ταύτην τὴν ἀποταγὴν ἀπαιτούμεθα ἐν τῇ ὥρᾳ ἐκείνῃ.

ΕΡΩΤΗΣΙΣ. Οἱ φιλόχριστοι. Εἰπὲ ἡμῖν καὶ τὰ τούτοις [ἄλλ. τούτων] ἀκόλουθα, καὶ πῶς ἐπερωτῶνται; [ἄλλ. ἐρωτῶνται.]

Ο ΔΙΔΑΣΚΑΛΟΣ ΛΕΓΕΙ. Δακρύσω ἐν ὀδύνῃ, καὶ εἴπω ἐν στεναγμοῖς μετὰ δακρύων. Οὐ γάρ ἐστι δυνατὸν ἐκεῖνα χωρὶς δακρύων διηγήσασθαι, καθότι τὰ ἔσχατά εἰσι. Τότε φιλόχριστοι μετὰ τὸ ἐρωτηθῆναι [ἄλλ. ἐρωτηθῆναι] καὶ ἐξετασθῆναι πάντας, καὶ πάντων τὰ ἔργα δημοσιευθῆναι ἐπὶ ἀγγέλων καὶ ἀνθρώπων, καὶ καταργηθῇ πᾶσα ἀρχὴ, καὶ ἐξουσία, καὶ δύναμις, καὶ πάντες οἱ ἐχθροὶ τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ· τότε λοιπὸν, καθὼς εἶπεν, ὁ Κύριος ἀφορίζει αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. [Ματθ. Κε, λγ.] καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ· τὰ πρόβατα, τὰ ἔχοντα τοὺς καλοὺς καρποὺς· τὰ πρόβατα, τὰ γινώσκοντα τὸν Ποιμένα· τὰ πρόβατα ἐσφραγισμένα, τὰ φυλάξαντα τὴν σφραγῖδα ἄθραυστον· τὰ πρόβατα, τὰ ἀκολουθήσαντα τὸν ποιμένα τὸν μέγαν, τὸν εἰπόντα· δεῦτε ὀπίσω μου, τὰ πρόβατα, τὰ μὴ μιάναντα τὴν ἁγίαν πίστιν μετὰ τῶν βλασφήμων αἱρετικῶν. ταῦτα τὰ πρόβατα στήσει ἐκ δεξιῶν αὐτοῦ. τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· ταῦτα τὰ ἐρίφιά εἰσιν, ὅσοι καρπὸν οὐκ ἔχουσιν, ὅσοι τὸν ποιμένα παρώξυναν. οὗτοί εἰσι τὰ ἐρίφια τὰ νεμόμενα μετὰ τῶν αἱρετικῶν, καὶ τὴν ἁγίαν πίστιν μιαίνοντα. οἵτινες ἐσκίρτησαν, ἐτρύφησαν, ἐχόρευσαν, καὶ πορευσάμενοι τὸ ὕψι ἐξῆλθον ἐκ τοῦ βίου παντὸς ἔργου ἀγαθοῦ ἔρημοι, πάσης ἀκαθαρσίας πεπληρωμένοι· οὓς ἰδὼν ὁ Θεὸς ἀποστρέφει τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀπ' αὐτῶν, καὶ στήσει αὐτοὺς ἐξ ἀριστερῶν. Τότε λέγει τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἐπηγγελμένην ὑμῖν βασιλείαν. [Ματθ. Κε, λγ.] δεῦτε οἱ υἱοὶ τοῦ φωτός [ἴσ. πατρὸς] μου· δεῦτε οἱ εὐλογημένοι τῆς ἐμῆς βασιλείας κληρονόμοι. δεῦτε οἱ δι' ἐμὲ πτωχεύσαντες, καὶ πεινάσαντες, καὶ διψήσαντες, οἱ μὴ ἀγαπήσαντες τὸν κόσμον, μηδὲ τὰ ἐν κόσμῳ. δεῦτε οἱ δι' ἐμὲ καταλιπόντες πᾶσαν χαρὰν καὶ χαρὰν τοῦ κόσμου, συγγενεῖς καὶ φίλους, καὶ γονεῖς καὶ τέκνα. δεῦτε οἱ ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐν μετανοίᾳ τῷ Θεῷ εὐαρεστήσαντες, οἰκήσατε μετὰ ἀγγέλων ἐν οὐρανοῖς. δεῦτε πάντες οἱ ἐλεήμονες καὶ φιλόξενοι· δεῦτε πάντες οἱ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίσαντες. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Τότε λέγει καὶ τοῖς ἐξ ἀριστερῶν· πορεύεσθε ἀπ' ἐμοῦ πάντες οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἐξώτερον· πορεύεσθε ἀπ' ἐμοῦ οἱ μεμιασμένοι, καὶ ἀνελεήμονες, καὶ μισάδελφοι, καὶ μισόχριστοι. οὐκ ἠλεήσατε, οὐκ ἐλεηθήσεσθε, οὐκ ἠκούσατε μου τοῦ ἀχράντου εὐαγγελίου, καὶ τῶν μακαρίων μου μαθητῶν, οὐδὲ ἐγὼ εἰσακούσομαι τῶν θρήνων ὑμῶν. ἐτρυφήσατε ἐπὶ τῆς γῆς, ἀπελαύσατε [ἄλλ. ἀπελάβετε] τὰ ἀγαθὰ ἐν τῇ ζωῇ ὑμῶν. ἐκεῖ καθεκάστην διὰ τῶν γραφῶν ἐβόων, καὶ ἀκούοντες ἐχλευάζετε τοὺς ἀναγινώσκοντας· καὶ νῦν λέγω, οὐκ οἶδα ὑμᾶς. πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἐξώτερον καὶ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. τότε ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

